[134r] δύνασθαι· | οὐ γὰρ τὰς βασάνους σου φοβηθήσομαι, διότι ἡ ψυχή μου ἐστήρικται ἐν κυρίῳ· ἡ γὰρ σωματική μου εἰκὼν ἀπὸ τοῦ χοὸς τῶν ὑδάτων ἐστίν, τὸ δὲ πνεῦμά μου ἐκ τοῦ θεοῦ ἐστιν. διὸ παραδίδωμι τὸ σῶμά μου εἰς τὰς βασάνους σου, ὅτι περ καὶ ὁ υἱὸς τοῦ θεοῦ καὶ λόγος αὐτοῦ ἐκ τῶν παντοδυνάμων κόλπων τοῦ πατρὸς ἀποσταλεὶς οὐκ ἐφείσατο τοῦ ἰδίου σώματος οὗπερ ἀνέλαβεν ἐκ τῆς ἁγίας παρθένου Μαρίας, ἀλλὰ παρέδωκεν αὐτό, σῶσαι θέλων τοὺς σύμπαντας. εἰ οὖν ὁ θεὸς τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, διὰ τί

25 γὰρ A] οὖν B | θύσω τῷ ἁγίῳ καὶ μεγάλῳ B ‖ 27 αἰῶνασ τῶν αἰώνων B | ὀλύβριος A] ἀκούσασ δὲ ταῦτα ὁ B ‖ 28 πολλὴν ... 29 κολαστήρια A] πολλάσ θλίψεισ καὶ βαρεία κολαστηρια ἐμπεσεῖν ἔχεισ B ‖ 30 σιδήρων B ‖ 31 μαρανεῖ σε A] σὺ ἐκφεύξῃ B | 32 ποθεινόν] καὶ πάσῃ δόξῃ τιμησω σε καὶ B ‖ 33 ὁμολογήσω σε publice declarabo te scil. sponsam; sententiam ὅτι ... ψυχῆς interpres non legit: *ecce ante omnes tibi dico, et accipio te mihi in coniugium* M | ὅτι B] ὅτι περ A ‖ 35 κάλοσ B ‖ 36 λέγει A: εἶπεν B | με ... 1 φοβηθήσομαι A] ἀνόσιε διὰ τῶν ἀπειλῶν σου ἐκφοβεῖν με· B

134r 2 ἐστερέωται B | ἡ γὰρ ... 4 παραδίδωμι A] εἰ (l. ἡ) γὰρ εἰκὼν τοῦ σώματόσ μου ἐστὶν ἀπὸ τοῦ χοοσ τῆσ γῆσ· ἡ δὲ ψυχή μου ἐκ τοῦ πνσ ἐστιν δημιουργηθεῖσα τοῦ θυ καὶ παραδώσω B ‖ 5 θυ καὶ A] θυ ὁ ὢν B ‖ 6 πατρὸσ B] πρσ αὐτοῦ A ‖ 7 οὗπερ B] ὅπερ ποιήσας A ‖ 7 ἐκ ... 8 μαρίας A] ἀπὸ μαρίασ τῆσ παρθένου B ‖ 8 αὐτό] αὐτῷ B ἑαυτὸν A ‖ 9 τὰ συμπαντα B | ὁ θσ B, ὁ θσ ὁ δυνατὸσ A ‖ 10 αὐτὸν] καὶ πάλιν αὐτὸσ ὁ υσ διὰ τὸ θέλειν σῶσαι τὰ σύμπαντα παρέδωκεν ἑαυτόν· διατί A

ἐγώ οὐ παραδίδωμι τὸ σῶμά μου τὸ γήινον εἰς κόλασιν, ἵνα σωθῇ ἡ ψυχή μου.

τότε προσέταξεν Ὀλύβριος ἀποδυθῆναι αὐτὴν καὶ τεθῆναι ἐπὶ σκαμνίῳ καὶ ῥάβδοις αὐτὴν τύπτεσθαι. τείναντες οὖν αὐτὴν οἱ σαρκοβόροι ἐπὶ τοῦ σκάμνου ἐβασάνιζον. ἡ δὲ ἁγία ὅλως οὐκ ᾐσθάνετο τῶν βασάνων, ἀλλ' εἰς τὸν οὐρανὸν ἀτενίσασα ἔλεγεν· Ἐπὶ σοί, κύριε, ἤλπισα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου· καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν· ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, καὶ λύτρωσαί με ἀπὸ συνεδρίου ματαιότητος τῶν ἀσεβῶν, μή ποτε αἰφνιδίως τρωθῇ ἡ ψυχή μου· μὴ ἐγκαταλίπῃς με, κύριε Ἰησοῦ Χριστέ, ἵνα μὴ ἡ σύνεσίς μου ἀλλαγῇ· βοήθησόν μοι, κύριε Ἰησοῦ Χριστέ, καὶ λύτρωσαί με, ὅτι διὰ σὲ ταῦτα πάσχω. καὶ ταῦτα εἰπούσης αὐτῆς ἤρξαντο οἱ δήμιοι τύπτειν αὐτὴν ἐπὶ πλεῖον, ὁ δὲ κῆρυξ ἔλεγεν αὐτῇ· Θῦσον λοιπὸν τοῖς θεοῖς. ἐπ' ἀληθείας δὲ ἦν ἡ ἁγία τρυφερὰ σφόδρα, καὶ πάνυ κατεκόπτετο τὸ σῶμα αὐτῆς ὑπὸ τῶν ῥάβδων καὶ πολὺ αἷμα ἔρρει ἀπ' αὐτῆς, ὥστε τοὺς ἐκεῖ παρεστῶτας δακρύειν πικρῶς· τινὲς δὲ ἐξ αὐτῶν ἔλεγον αὐτῇ· Ὦ κόρη, ποταπὸν κάλλος ἀπόλλεις διὰ τὴν ἀπείθειάν σου, διότι ὁ δικαστὴς θυμώδης ἐστὶν καὶ ἀπολέσαι σε ἔχει καὶ ἆραι τὸ μνημόσυνόν σου ἀπὸ τῆς γῆς. πάνυ οὖν πονεῖ ἡμῖν διὰ σέ, ὅτι

11 εἰς] διὰ τὸ ὄνομα τοῦ κυ μου ιυ χυ εἰσ B ‖ 13 ὀλύβριος .. σκαμνίῳ A: ὁ ἔπαρχοσ ἐκδυθεῖσαν αὐτὴν ἐπιτεθῆναι ἐν σκάμνῳ B. *tunc iussit Olibrius quaestionariis suis in aere eam suspendi et uirgis subtilibus caedi* C, similiter M ‖ 14 τείναντες ... 15 ἐβασάνιζον om B ‖ 16 ἡ δὲ A: τυπτομένη δὲ ἡ B | ᾐσθετο B ‖ 17 ἔλεγεν A: ηὔχετο λέγουσα B ‖ 19 *qui sustinent propter nomen tuum* M ‖ 20 ἐπεμὲ κε καὶ B ‖ 21 prius με om B | ματαιότητος om B: cf. psalm 25, 4 οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω ‖ 23 ἐγκαταλείπῃς A ‖ 24 μοι] με B ‖ 27 ἔλεγεν αὐτῇ A: ἐπεφώνει· μαρίνα B fortasse genuinum | λοιπὸν om B | ἐπ' .. 28 ἁγία A: ἡ δὲ ἁγία ἦν B ‖ 28 πάνυ om B ‖ 29 καὶ τὸ αἷμα ἐξεχεῖτο ἐπ' B ‖ 32 caue ἀπολεῖς conicias | ἀπειθειάν A: ἀπιστίαν B ‖ 33 ἐστὶ B ‖ 34 πάνυ οὖν A: καὶ B

ὁρῶμέν σε ἄκακον οὖσαν. ἡ δὲ ἁγία Μαρίνα εἶπεν αὐτοῖς· Ὦ πάσης κακίας ἑταῖροι, ὦ ἀναίσχυντοι, ὦ πάν-
134v των | τῶν κακῶν ἐνθυμηταί, διά τί οὕτως ὑπολαμβάνετε; τό ἁπαλὸν τοῦ σώματός μου ἐάν περιφθαρῇ, πιστεύω εἰς τὸν τῶν ἁπάντων κτίστην θεόν, ὅτι πολλαὶ ψυχαὶ σωθήσονται δι' ἐμοῦ καί ἀπενεχθήσονται πρὸς τὸν θεόν μου· τούτοις δε οὐ πεισθήσομαι οὐδὲ θύω. τοτε ἀποστραφεῖσα τῷ ἐπάρχῳ λεγει· Ποίει ὃ θελεις καί εἴ τι δἂν τοῖς ὀφθαλμοῖς σου ἀρεστόν ᾖ καί τῷ πατρί σου τῷ Σατανᾷ. ἐγώ γάρ ἔχω τὸν ἐνδυναμοῦντά με Ἰησοῦν Χριστόν. τότε ὁ ἔπαρχος πλησθεὶς θυμοῦ ἐκέλευσε λάμναις σιδηραῖς καθηλωθῆναι αὐτὴν καὶ ξέεσθαι κρεάγραις σιδηραῖς. καί ὡς ἐκύκλωσαν αὐτὴν οἱ σαρκοβόροι μετὰ τῶν κρεαγρῶν, ἡ ἁγία Μαρίνα ἀναβλέψασα εἰς τὸν οὐρανὸν εἶπεν Ἐκύκλωσάν με οἱ ἐχθροί μου καί οἱ βουλόμενοί μοι κακὰ ἀσεβεῖς ἐγκάθετοί μου εἰσιν. αὐτὸς δὲ κύριε ἐπίβλεψον ἐπ' ἐμὲ καί ἐλέησόν με· καί δός μοι δύναμιν καί ἔμπλησόν με τῆς σοφίας σου, καὶ ἐξομολογήσεταί σοι ἡ γῆρυς Μαρίνης τῆς σῆς δούλης. καί δός μοι τὴν δυναμιν τοῦ ζωοποιοῦ σου πνεύματος, ὅπως δυνηθῶ ἀντιστῆναι τῷ ἐχθρῷ μου τῷ

35 ἁγία om B | 36 κακίας συνεργοὶ καὶ ἀναίσχυντοι καὶ παντὸσ δόλου μέτοχοι· ὦ B

134v 1 ἐνθυμηταὶ B: ἐνθυμηταὶ ανοι A | διότι B | ὑπολαμβάνεται B ‖ 2 τὸ γὰρ ἁπαλὸν B | ἐὰν φθαρῇ B ‖ 3 τῶν om B ‖ 5 θύσω B | ἀποστραφεῖσα om B et interpres ‖ 6 εἴ τι AB conicias ὅ τι | δ' ἂν A om B cf Fleckeiseni annal. 1878 p 66 sq ‖ 7 σατανᾷ A: διαβόλῳ B ‖ 8 Ἰησοῦν om B ‖ 9 *iussit eam (in aere* add M) *suspendi et cum ceruarum unguibus carnis eius disrupit* C (*cum uirgulis acerbissimis carnes eius disrumpi* M) | λαμναις cf. Baronius ad Martyrol rom mai 18 *b* p 212 | κατηλωθῆναι B ‖ 10—12 ὡσ ἤρξαντο οἱ δήμιοι βασανίζειν αὐτὴν ἀναβλέψασα εἰσ B cf gl. Philox '*carnifex* δήμιος, σαρκοβόρος', idem glossema infra 1 23 etiam codicem A obsidit ‖ 14 εἰσίν A: ἐγένοντο B. cf Hiob 19, 12 ταῖς ὁδοῖς μου ἐκύκλωσάν με ἐγκάθετοι ‖ 15 μοι δύναμιν καὶ σοφίαν ἵνα ἐξομολογήσομαί σοι ἐγὼ ἡ ἁμαρτωλὸσ δούλη σου B ‖ 16 ἡ γῆ μαρίνης A (γῆρυς) suppleui uocem inter λέξεις ῥητορικὰς receptam in Bekkeri anecd Gr. p 232, 16 ‖ 17 δός ... τοῦ A: παρελεύσεται ἡ ἀπιστία καὶ ἔλθη πρός με ἡ βοήθεια τοῦ B unde fort. βοήθειαν pro δύναμιν scribendum ‖ 18 ἵνα ἀντιστῆν* δυνηθῶ B cum littera erasa

διαβόλῳ τῷ σχολάζοντι κατ' ἐμοῦ, καὶ νικήσασα αὐτὸν ἔλθω ἐνώπιον σοῦ καὶ στῶ μετὰ τῶν ἐκ δεξιῶν σου καὶ παρρησίαν λήψομαι μετὰ τῶν τὴν παρθενίαν ἀμίαντον τηρησάντων, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. οἱ δὲ σαρκοβόροι [δήμιοι] ἔξεον τὰς πλευρὰς αὐτῆς. ὁ δὲ ὠμότατος καὶ ἀναιδὴς ἔπαρχος μετὰ τῆς χλαμύδος ἔκρυβεν τὴν ὄψιν καὶ τὸν νῶτον ἀπέστρεφεν πρὸς αὐτήν· καὶ πάντες οἱ ἐκεῖσε ἑστῶτες ἐθαύμαζον ὁρῶντες τὸ σῶμα αὐτῆς διαφθειρόμενον. Ὡς δὲ ὑπεχώρησαν οἱ ὑπηρέται βασανίσαντες αὐτήν, εἶπεν αὐτῇ ὁ ἔπαρχος· Ἕως πότε Μαρίνα οὐκ ἐλεεῖς σεαυτήν, ἴδε λοιπὸν καὶ τὸ σῶμά σου διεφθάρη. εἶξον καὶ θῦσον, ἐπεὶ βασανισθήσῃ ἕως θανάτου, ἐὰν μή μου ἀνάσχῃ. Μαρίνα εἶπεν πρὸς ταῦτα· Ὦ χοῖρε καὶ κύον ἀναιδής, γνῶθι ὅτι οὐ μὴ ἐλεήσω τὸ σῶμά μου, ἀλλὰ παραδώσω αὐτὸ τοῖς βασανιστηρίοις, ἵνα τὴν ψυχήν μου ἐστεφανωμένην ἀνενέγκω εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Καὶ ταῦτα εἰπούσης αὐτῆς ἦν ἑβδόμη ὥρα τῆς ἡμέ-

19 αὐτὸν ἔλθω εἰσ τὴν σὴν ἀνάπαυσιν ἵνα πρόσωπον πρὸς πρόσωπον ἔλθω ἐνώπιον σου καὶ στῶ A, ubi πρόσωπον πρὸς πρόσωπον glossema aduerbii ἐνώπιον interpolationis origo fuit αὐτὸν καταισχυνω καὶ ἔλθω καὶ στῶ ἐνώπιον σου κε B | 20sq. καὶ νικήσασα παρρησίαν A caret glossemate B cf l. 15 || 21 λήψομαι 22 τηρησαντων A δω ταισ τὴν παρθενίαν φυλαττουσαις B || 22 τῶν αἰώνων om B || 23 σαρκοφάγοι B | δημιοι glossema, cf supra l. 11 || 24 αὐτῆς ante 23 τὰς B | ὠμὸς B || 25 ἔκρυβε et ἀνέστρεφε B || 26 πάντεσ οἱ παρεστῶτες ἐθαύμασαν B || 27 αὐτῆσ τὸ κάλλιστον ὑπὸ των βασάνων διαφθ B || 28 βασανίζοντεσ B || 29 ὕπαρχοσ B | αὐτὴν B || 30 εἶξον 24, 11 προσέταξεν licentissime B mutata sic dedit καὶ νῦν εἶξον καὶ θῦσαι θέλησον ἵνα κερδάνησ τὰς υπολοίπουσ βασάνουσ ἐὰν δὲ μή μου ἀνάσχῃ πάλιν βασανισθήσῃ ἕωσ θανάτου μαρίνα εἶπεν χοῖρε καὶ κοῖον ἀνεδέστατε ἐὰν ἐλεήσω μου τὸ σῶμα καὶ μὴ παραδώσω αὐτὸ τοῖσ βασανιστηρίοισ πῶσ ἡ ψυχη μου ἔχει στεφανωθῆναι ἐν τῇ βασιλεια των οὐρανῶν βασανισθείσησ δὲ αὐτῆς ἕωσ ὥρασ ἑβδόμησ πάλιν προσέταξεν || 31 μου ἀνάσχῃ ut Plato Protag p 323a ἅπαντος ἀνδρὸς ἀνέχονται commonefacit mainmoni p 20, 33 propositi || 32 κύων ἀναιδή· A correxi coll Choerob. dict p. 163, 11 sq. || 36 igitur septima hora diei legitimum illo tempore iudicis finem imponebat, cf. cod Theod ι 16, 13 cum Cuiacio obss vi 34

135r ρας καί προσέταξεν ὁ ἔπαρχος | ἀπαχθῆναι αὐτήν ἐν τῇ φυλακῇ. καί ἦν κατά μόνας εὐχομένη και λέγουσα· Ὁ θεὸς ὁ τάξας δίκην ἀνεκλάλητον, καί ἀπό προσώπου σου τρέμουσι πάντες οἱ αἰῶνες, τρέμουσι δὲ καὶ πᾶσαι αἱ ἐξουσιαι, σύ εἶ ὁ τῶν νηστευόντων καί προσευχομένων καὶ ἑαυτους ταπεινούντων διά σέ πάντων τουτων πατήρ· ἐπίβλεψον ἐπί την δούλην σου, ὅτι μονη εἰμί, και κελευσόν μοι, ὅπως ἴδω τόν ἐχθρόν μου τόν πολεμοῦντά με. καί αὐτός, κύριε, καταδίκασον αὐτὸν ἐν τοῖς κατωτάτοις τῆς γῆς, διότι οὐδὲν ἠδίκησα αὐτόν, ὅτι αὐτὸς ὑπάρχεις κριτὴς ζώντων καὶ νεκρῶν· καὶ οὕτως κρῖνον ἀνὰ μέσον ἐμοῦ και τοῦ διαβόλου. ἴδε, κύριε, ὅτι ἐν πολλῇ θλίψει καὶ ἀδημονίᾳ ὑπάρχω καί τῇ ἀνάγκῃ στένω· καὶ αὐτός, κύριε, μή με ἐγκαταλίπῃς καὶ μή ἀποστῇς ἀπ᾽ ἐμοῦ, διότι τό σῶμά μου καί τήν ψυχήν διά τό ὄνομά σου παρέδωκα. καί νῦν κύριε, μή συγχωρήσῃς με ἀπολέσθαι, καί μή μιανθῇ τὸ σῶμά μου καὶ το πνεῦμά μου, ὅτι σὺ εἶ, κύριε, ὁ θεὸς ὁ φυλάττων με, ὁ ὢν εὐλογητός εἰς τούς αἰῶνας, ἀμήν.

[Θεότιμος δὲ ἦν ὁ τρέφων αὐτὴν διὰ τῆς θυρίδος ἄρτον καί ὕδωρ μόνον.]

Μετά δὲ τήν τελείωσιν τῆς εὐχῆς ἐγένετο ἐν τῷ τό-

135r 1 ἀπενεχθῆναι B | εἰσ τὴν φυλακὴν ἦν δὲ καταμόνασ ἐν τῇ φυλακῇ εὐχ B || 3 δικην A κρίσιν B | ἀνεκλ ἔσεσθαι καὶ B || 4 τρέμουσι . . 6 πατηρ A φρίττουσιν πάντεσ ἄνοι δικαιοι καὶ φόβω συνέχονται ταπεινοῦντεσ ἑαυτοὺσ ἐν υμνωδίαισ καὶ προσευχαῖσ περ πάντων B ubi notatu dignum quo modo uox gnostica οἱ αἰῶνες abolita sit | *omnia saecula et in eis habitantes* (*et inhabitantes* C) interpres || 5 sq *desperatorum spes, pater orphanorum et iudex uerus, lumen de lumine* CM || 7 ἐπὶ A ἐπεμὲ B | ὅτιπερ B | μοι om B est datiuus commodi || 8 με A πρόσ με B cf Wurmius comm. in Dinarch (or 1 36 p 29 R) p 70 sq aegre desideres αὐτόν 'ut uideam aduersarium ipsum, non solum eius ministros, qualis Olybrius est' qua re scripserim με καὶ αὐτόν, κυριε καταδικασον || 9 ἐν τοῖς . . . 10 αὐτόν om B || 10 κριτὴσ υπάρχεισ B || 11 καὶ αὐτὸσ κρίνον B || 14 ἐγκαταλείπησ AB || 15 ψυχήν μου B, corr rec A | και νῦν κε om B || 16 ἀπολέσθαι A ἀποδοκιμασθῆναι B || 17 ὅτι συ . . . 18 εὐλογητὸς A υπὸ τοῦ μιαροῦ δαίμονοσ ἀλλ᾽ αὐτὸσ φύλαξον τὴν ψυχήν μου κε ὅτι εὐλογητὸσ εἶ B || 19 ὁ om B || 20 sq ἄρτω καὶ ὕδατι μόνω ἔμεινε δὲ ἐν τῶ αυτῶ τόπω μετὰ δὲ τὴν προσευχὴν τῆσ ἁγίασ κόρησ ἐγένετο B de interpolatione dixi supra p 12

πω ἐκείνῳ σεισμὸς μέγας, καὶ ἐσαλεύθη τὸ δεσμωτήριον καὶ ἐξαίφνης ἐξῆλθεν ἐκ τῆς γωνίας δράκων μέγας καὶ φοβερὸς σφόδρα, ποικίλος τῇ χρόᾳ· ἡ δὲ θρὶξ αὐτοῦ καὶ τὸ γένειον ὥςπερ χρυσὸς ὑπῆρχεν· οἱ δὲ ὀδόντες αὐτοῦ ἐξήστραπτον, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὅμοιοι μαργαρίτῃ ὑπῆρχον· ἐκ δὲ τῶν μυκτήρων αὐτοῦ ἐξεπορεύοντο φλὸξ πυρὸς καὶ καπνὸς πολύς· ἡ δὲ γλῶσσα αὐτοῦ ἦν ὡς αἷμα· περὶ δὲ τὸν τράχηλον αὐτοῦ ὄφεις εἰλιγμένοι· οἱ δὲ κανθοὶ τῶν ὀφθαλμῶν αὐτοῦ ἦσαν ὡς ἄργυρος. καὶ οὗτος ἔστη ἐν μέσῳ τῆς φυλακῆς κράζων καὶ συρίζων· ἔτρεχεν δὲ κύκλῳ Μαρίνης μετὰ γυμνῆς ῥομφαίας, καὶ ὁ συριγμὸς αὐτοῦ ἐποίησεν δυσωδίαν δεινὴν ἐν τῇ φυλακῇ· ἡ δὲ ἁγία παρθένος ἐγένετο ἐν μεγάλῳ φόβῳ, καὶ συνετρίβοντο αὐτῆς τὰ ὀστᾶ καὶ ἐνήλλασσεν αὐτῆς ἡ ὄψις. ἀπὸ δὲ τοῦ φόβου ἐληθάργησε τὴν εὐχήν· κατὰ δὲ τὴν αἴτησιν αὐτῆς ὁ κύριος ἐποίησεν καὶ ἔδειξεν αὐτῇ τὸν ἐχθρὸν καὶ ἀντίπαλον πάντων τῶν ἀνθρώπων. καὶ κλίνασα γόνυ ἤρξατο εὔχεσθαι καὶ λέγειν· Θεὲ ἀόρατε, οὗ ἀπὸ προσώπου θάλασσα | καὶ βυθὸς ξηραίνεται, αὐτὸς εἶ ὁ 135v θέμενος ὅρια τῷ Ἅιδῃ· ὁ λύσας τὸν δεσμὸν τῆς γῆς,

23 καὶ . . . μέγας A: καὶ αἰφνιδίως ἐκ τησ γωνιας του δεσμωτηρίου ἐξεπιδησε δράκων μέγιστοσ B || 24 σφόδρα A: σφόδρα καὶ B | χρόα A: ἤδεα (i. e. ἰδέᾳ) B || 25 *dentes eius ut ferreae similis erat* (sic) *serre* C *uidebantur dentes eius ferrei* M || 27 ἐξεπορευετο B || 28 πολυσ B: πυρδσ denuo A || 29 αἷμα AB: conicias αἰχμή, sed latet nomen a u. ἱμᾶν declinatum cf. infra p. 27, 7 locis antiquitus corruptis: *lingua illius anhelabat* interpres | αὐτοῦ A: αὐτοῦ ἦσαν B | οἱ δὲ A: καὶ οἱ B || 30 cf. Hesych. κανθός: ὁ τοῦ ὀφθαλμοῦ κύκλος, exc. Stephani κανθοί *anguli oculorum*, gl. Cyr. κανθὸς ὀφθαλμοῦ *canthus angulus* || 31 οὗτος om B: fort. οὕτως || 32 ἔτρεχε . . . ῥομφαίας A: καὶ ἔτρεχε κύκλω τησ ἁγίασ μάρτυροσ B ceteris omissis || 33 συρισμὸσ B || 34 καὶ ἡ ἁγία ἐγένετο B | φόβω A: φόβω καὶ τρόμοσ ἐπέπεσεν ἐπ' αυτὴν B | συνέτριβον B || 35 ἐνήλασσεν A: ἐνηλλάσσετο B | 36 ἀπὸ δὲ . . . δὲ A: καὶ ὥσπερ ἐν ἐκστάσει γενομένη ἐλιθάργησε τὴν εὐχὴν καὶ τὴν αἴτησιν ἣν πρωην ἠτήσατο· ὁ δὲ κσ ἣν προσδεξάμενος αὐτησ τὴν πρασευχὴν καὶ κατὰ B qualia interpres legebat || 39 γόνυ A: τὰ γόνατα B

135v 1 προσωπου σου θαλ. καὶ ἄβυσσοσ ξηρ. B | εἶ κε ὁ B || 2 ὁ λυσασ . . . 3 σαλευθῇ om B et interpres

ὅπως μὴ σαλευθῇ· ὁ ταπεινώσας τὴν δύναμιν τοῦ μισοκάλου δράκοντος· ὁ δήσας τὸν Ἅιδην καὶ ἐλευθερώσας τοὺς ἐν αὐτῷ κεκλεισμένους· καὶ νῦν ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, καὶ μὴ συγχωρήσῃς ἀδικηθῆναί με ὑπὸ πονηροῦ δαίμονος· ἀλλὰ τὸ σὸν θέλημα γενέσθω, κύριε, ὅπως νικήσω τὴν τούτου φλόγα, ὃν οὐκ ἠπιστάμην ὁποῖος ἦν. καὶ τούτων λεγομένων ἐσύρισεν κατ' αὐτῆς ὁ δράκων παροξυνθεὶς σφόδρα· ἡ δὲ ἁγία δούλη τοῦ θεοῦ τὸν σταυρὸν ἐποίησεν ἐν τῷ μετώπῳ καὶ ἐν παντὶ τῷ σώματι αὐτῆς, καὶ μετὰ δακρύων ηὔχετο λέγουσα· Φυγάδευσον ἀπ' ἐμοῦ, κύριε, τοῦτον τὸν πονηρὸν λύκον καὶ λυσσῶντα κύνα καὶ τὴν τούτου δυσωδίαν. καὶ ἐλθέτω ἐπ' ἐμὲ τοῦ ἁγίου σου πνεύματος ἡ ἡδύτης καὶ ἡ χρηστότης. καὶ ταῦτα εἰπούσης αὐτῆς ἐχαλέπαινεν ἐπ' αὐτὴν ὁ δράκων, καὶ κρατήσας αὐτὴν ἔθηκεν τὸν τράχηλον αὐτοῦ ἐπάνω τοῦ τε-
156v τραγώνου· | ἡ δὲ κεφαλὴ αὐτοῦ ἦν κρεμαμένη ἐπὶ τὰ κάτω· καὶ οἱ πόδες αὐτοῦ ἦσαν ἐπὶ τὴν γῆν καὶ ἔδραμον ἐκ τοῦ τραχήλου αὐτοῦ ἐκ τῶν ὄφεων ἐκείνων οἳ ἦσαν ἐπ' αὐτῷ, καὶ ἔχαναν τὸ στόμα τοῦ δράκοντος. ὃ δὲ ἔσυρεν πρὸς ἑαυτὸν τὴν ἁγίαν κόρην καὶ ἔθηκεν τὸ στόμα ἐπὶ τὸν

3 μισοκάλου B *maligni* interpres (C) μεγάλου AM ‖ 4 δήσας B· λύσας A ‖ 5 ἐγκεκλεισμένους B ‖ 7 πονηροῦ A· τοῦ πονηροῦ τούτου B ‖ 8 ὃν οὐκ . . . 9 ἦν A· τῇ δυνάμει σου κε B ‖ 9 ἐσύρισεν A· παροξυνθη ὁ δαίμων ὁ ἐν σχήματι δράκοντος φαινόμενος καὶ ἐσύρισε B | ὁ . . . 10 σφόδρα om B ‖ 10 δούλη τοῦ θυ A· τοῦ χυ δούλη B | 11 ἐποίησεν τῷ A· ποιήσασα ἐν τῷ B | μετώπῳ A | καὶ κατὰ παντὸς τοῦ σώματος αὐτῆς μετὰ δ B ‖ 13 κε ὁ θς τοῦτον τὸν λύκον τὸν π B ‖ 14 δυσωδίαν A· δυσώδη ὀσμήν B | τοῦ A· ἡ χρηστότης τοῦ B ‖ 15 ἡ ἡδύτης καὶ ἡ χρ om B ‖ 16 κρατήσας αὐτήν, B· κρατησάσης αὐτῆς αὐτὸν A ‖ 17 ἔθηκε B | τετραγώνου A· τραπεζαίου B· uidetur lapis quadratus indicari in medio carcere positus ad quem captiui alligarentur | τετραγώνου τοῦ ἀέρος φωτισθέντος [p 28, 32] . . . ὁ κτίσας με [p 31, 4] ἡ δὲ κεφαλὴ [p 26, 1] . . . καὶ νυν κε [p 28, 1] ὁ στερεώσας με [p 31, 4] κτλ continuat A traiecta archetypi scheda cf p 7 sq carent his turbis B et interpres

156v 1 ἡ δὲ . . . 2 οἱ A· καὶ ἀποκρεμασθείσης τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τὰ κάτω, οἱ B ‖ 2 ἀπὸ τὸν τράχηλον B ceteroqui cum A consentiens ‖ 4 ἔχαναν A· ἔχαινον B· eodem fere sensu dicitur quo ἐχάλασαν | ὁ δὲ A· καὶ ἐπιβαλόμενος ὁ δράκων τῷ στόματι, B ‖ 5 κόρην ἐν φαντασίᾳ τινὶ καὶ ἔθηκε B

τράχηλον αὐτῆς καὶ τὴν γλῶσσαν ἔπεμψεν ὑποκάτω τῶν πτερνῶν αὐτῆς, καί οὕτως ὡσεί ἔλαφος ἀνιμήσατο αὐτὴν καὶ κατέπιεν εἰς τὴν κοιλιαν αὐτοῦ. αἱ δὲ χεῖρες αὐτῆς ποιησασαι τὸ σημεῖον τοῦ ἁγίου Χριστοῦ, προπορευσάμενος ἔμπροσθεν τῆς κόρης οὕτως διέρρηξεν τά ἐνδόσθια αὐτοῦ. καί οὕτως καταπεσών ἀπό τοῦ τετραγώνου ἐποίησε ψόφον μέγαν καὶ διεσχίσθη κατά μέσον καί ἀπέθανεν. ἡ δὲ ἁγία κόρη ἐξῆλθεν ἐκ τῆς κοιλίας αὐτοῦ μηδὲν ἀδικηθεῖσα. καὶ ἀποστραφεῖσα λέγει πρὸς αὐτόν· Ὄντως ὃ ἐζήτησας εὗρες

ὁ δὲ δράκων ἀπέμεινεν εἰς τὸ ἔδαφος ἐρριμμένος. καί αἴφνης πάλιν ἀπὸ τῆς ἄλλης γωνίας τῆς φυλακῆς δαίμων μέγας πεπτωκώς ἐπί τα γόνατα τῆς ἁγίας Μαρίνης. ἡ δε ἰδοῦσα αὐτον ἤρξατο εὔχεσθαι καί λέγειν· Αἰνέσω τό ὄνομά σου και δοξάσω σε, κύριε Ἰησοῦ Χριστε ἀγαλλιάσομαι και εὐφρανθήσομαι καί ὑψώσω σε, πάτερ πάντων, κτίστα δυνατὲ Χριστέ· ἡ μεγαλειότης τῶν ἐξουσιῶν καὶ ἀρχόντων καί ἀναριθμήτων δυνάμεων, βασιλεῦ, νῦν ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου

6 και τὴν ..7 αὐτὴν A. καl τῇ γλώσσῃ ἀνημήσατο αὐτὴν ὡσεὶ ἔλαφοσ B ‖ 7 ἔλαφος nomine a forma petito ut sunt *aries coruus grus* κριός καρκίνος (forceps est fabrorum), uidetur maximus ille forceps dici quo ad naues onerandas et exonerandas utuntur, nostratibus *teufel* cf. Vitruuius x 2, 2 *ferrei forfices quorum dentes in saxa forata accommodantur* tota machina Graecis γέρανος audiebat ut nobis *krahnen* | ἀνειμησατο A ‖ 9 ἐποίησαν B at uitaret nominatiuum absolutum | του ἁγίου χυ A. τοῦ ἁγίου στρου τοῦ χυ καὶ B ‖ 10 κόρησ ὁ τίμιοσ στρσ οὕτωσ διέρρηξε B | ἐνδόσθια AB testantur ‖ 11 καὶ A καὶ ἔσχησε τὴν κοιλιαν αὐτοῦ, καὶ B | τοῦ τετραγώνου τραπεζαίου, ἐπ ψ μέγα B cf. supra 26, 17 ‖ 12 διερράγη ἐκ μέσου B ‖ 13 ἡ δὲ . . ἐξῆλθεν A. ἦν δὲ ταῦτα πάντα φαντασια δαιμονική· ἔδοξε δὲ ἡ ἁγια κόρη ὁτι ἐξῆλθεν B | μηδὲν δεινὸν παθοῦσα B ‖ 15 ἐζήτεισ εὕρεσ· νεκρωθεὶσ τῃ σταυραφόρῳ δυνάμει τοῦ χυ B ‖ 16 ἔμεινεν B | ἐρριμμένος A νεκρόσ B ‖ 17 καὶ παλιν αιφνιδιωσ ἀπὸ B | *uidit alium diabolum sedentem ut homo niger habensque manus ad genua colligata(s)* M cf. C | 18 της . . 19 ἰδουσα A κράζων ἤρχετο πρὸσ τὴν δούλην τοῦ χυ ἰδοῦσα δὲ B ‖ 21 πάτερ . . 22 χε A. θεὲ παντοκράτωρ κτίστα παντοδυναμε υε καὶ ἀτελευτητε χε B ‖ 23 καὶ ἀρχῶν καὶ των ἀν. B | δυνάμεων A. ἀγγέλων B

καὶ ἐπὶ τοῖς χαρίσμασι καὶ τῇ πίστει, ᾗ μοι ἐδωρήσω, κύριε Ἰησοῦ Χριστέ, ἐπιβλέψας ἐπὶ τὴν ταπείνωσίν μου, καὶ ἐπὶ τῇ ἐξουσίᾳ ᾗ ἔδωκας τῇ δούλῃ σου Μαρίνῃ κατὰ τοῦ ἐχθροῦ, ῥίψας αὐτὸν ἀπὸ τοῦ τετραγώνου κάτω καὶ τὴν πίστιν μου αὐξήσας καὶ εἰς χαρὰν ὕψους ἐπάρας, τοῦ κακούργου εἰς γῆν ῥιφέντος καὶ τοῦ ἐχθροῦ τῶν ἀνθρώπων ἐξολοθρευθέντος καὶ τῆς δυσωδίας αὐτοῦ ἀπελασθείσης 135ᵛ και νῦν, κύριε, | τοῦ ἀέρος φωτισθέντος καὶ τοῦ διαβόλου καταπατηθέντος καὶ τοῦ ἀκαθάρτου αἰσχυνθέντος καὶ ἀτενίσασα εἰς τὸν οὐρανὸν εἶπεν· Νῦν, κύριε, ὁ σεσηπὼς ἐξωλοθρεύθη και ἡ μανια αὐτοῦ ἀπώλετο καὶ νῦν ὁ σταυρός μου ὑψωθήσεται, καὶ ἡ περιστερα χαίρουσα στήσεται τῆς δούλης σου Μαρίνης καὶ χαρήσομαι καὶ ἀγαλλιάσομαι ἐπὶ τῇ σῇ γλυκύτητι, ὅτι ἄρρηκτος εἶ, καὶ ἡ ἐλπὶς τοῦ πνεύματος τοῦ ἁγίου καὶ ἡ δύναμις ἔσται μετ᾽ ἐμοῦ, καὶ δι᾽ αὐτοῦ τὴν αἰώνιον ζωὴν καρπώσομαι καὶ τῇ δυνάμει σου τὸν κακοποιὸν κατεπάτησα· καὶ νῦν ἐπικαλοῦμαί σε, Χριστέ, καὶ δοξάζω σε, ἅγιε ἀθάνατε σοφὲ καὶ πρᾶε· αὐτὸς ὑπάρχεις τῶν ἁγίων ἡ πίστις ἡ ἄνωθεν, ὁ λίθος ὁ ἀκρογωνιαῖος καὶ τὸ καταφύγιον καὶ στερέωμα τῶν σῶν δούλων· σύ μου ἡ ῥάβδος καὶ κλῖμαξ ἡ ἀνά-

25 καὶ ἐπὶ B. κε ἐπὶ A | ἥπερ μοι B | κε A ναί κε μου B || 26 ἐπίβλεψον AB | ἐπὶ 29 τοῦ A ἐπὶ τὴν ψυχήν μου ἔτι καὶ ἔτη· ἐξουσίαν διδοὺς ἐμοὶ τῇ δούλῃ σου μαρίνα ὅπως τὸν ἐχθρόν μου ἀποκτείνασα, καὶ τὴν πίστιν αὐξήσασα· καὶ εἰσ χαρὰν ἀνεκλάλητον ἐπαρθεῖσα, δια τῆσ χάριτός σου δοξασθῶ· τοῦ δεινοῦ καὶ B 135ᵛ 1 καὶ νῦν . . p 34, 23 Μαρίνης om C | de foliis codicis A dixi ad p 26, 17 | καὶ τοῦ διαβόλου καταπατηθέντοσ om B || 2 αἰσχυνθ . . 6 μαρίνης A αἰσχυνθέντοσ καὶ ἡ μανία αυτοῦ ἀπολεῖται διὸ καὶ νῦν ὁ στρόσ σου υψώθη καὶ ἡ πίστισ μου ἐδοξάσθη· καὶ τὸ σῶμά μου ἁγίῳ ἐλαίῳ ἀλειφθήσεται καὶ τὸ ἅγιον πνα βοηθήσει μοι τῇ δούλῃ σου· B || 4 ἐξολοθρεύθη A || 5 *expecto columbam meam hilarem ad me uenientem* M columbae supra p 22, 15 sq solus interpres mentionem fecit *transmitte mihi columbam de caelo, quae ueniat mihi in adiutorium* cett | an πτήσεται? || 6 χαρίσομαι B || 7 ἄρρητοσ B || 8 του ἁγίου πνσ καὶ B || 9 καρπώσομαι B καρπωσώμεθα A | καὶ γὰρ τῇ B || 10 ἐπάτησα δράκοντα καὶ B | σοφὲ καὶ πραότατε βασιλεῦ αὐτὸσ B || 13 ἀκρογονιαῖοσ B cf. ep. ad Ephes 2, 20 || 14 μου γενοῦ ῥάβδοσ καὶ κλίμαξ B

γουσά με πρὸς τὸν πατέρα, ἐλεῆμον κύριε καὶ φιλάνθρωπε, ὁ ἐνδοξαζόμενος κύριε Ἰησοῦ Χριστὲ εἰς τοὺς αἰῶνας, ἀμήν. καὶ ταῦτα εἰπούσης ἀνέστη ὁ δαίμων κεκραγὼς καὶ ἐκράτησεν αὐτὴν ἀπὸ τῆς χειρὸς καὶ εἶπεν αὐτῇ· Σιώπησον μικρόν, Μαρίνα· ἀρκετόν σοι γάρ ἐστι· καὶ γὰρ μεγάλα πράγματα ἐνεδείξω. ἐγὼ γὰρ τὸν συγγενέα μου Ῥοῦφον ἀπέστειλα ἐν σχήματι δράκοντος, ὅπως σε ἀποκτείνῃ· σὺ δὲ διὰ τῶν εὐχῶν σου αὐτὸν ἀπέκτεινας | καὶ 136r βούλει κἀμὲ ἀνελεῖν. ἀλλὰ νῦν φεῖσαι μου, Μαρίνα, καὶ μὴ κακόν τι ποιήσῃς μοι. ἡ δὲ ἁγία Μαρίνα σφραγίσασα ἑαυτὴν ὅλην τῷ σημείῳ τοῦ σταυροῦ ἐδράξατο τοῦ δαίμονος ἀπὸ τῶν τριχῶν καὶ τοῦ πωγωνίου. ὃ δὲ ἔσυρεν τείνων πρὸς ἑαυτόν, καὶ ἐφιλονείκουν ἀμφότεροι. ὁ δαίμων λέγει· Οὐαί μοι, ὅτι τὸ γένειόν μου πάνυ ἀλγεῖ.

καὶ τούτων λεγομένων ἡ Μαρίνα ἔσφιγξεν πρὸς ἑαυτὴν τὸ γένειον αὐτοῦ, καὶ ἐξετίλη τὸ ἥμισυ εἰς τὰς χεῖρας αὐτῆς. καὶ ὠλόλυξε πάλιν λέγων· Οὐαί μοι, οὐαί. ἡ δὲ Μαρίνα πάλιν ἔκρουσεν μετὰ τοῦ σαπέντος πώγωνος τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐξέβαλεν αὐτοῦ τὸν δεξιὸν ὀφθαλμόν. ὃ δὲ πάλιν ἔκραξε λέγων· Οὐαί οὐαί. ἡ δὲ

15 τὸν σὸν πρα ἐλεήμων B || 16 ὁ ὢν δεδοξασμένοσ B || 17 εἰπούσης αὐτῆσ ἀν B | κεκραγὼς καὶ A καιόμενοσ τῇ συνεχεῖ τοῦ χυ ἐπικλήσει ὑπὸ τῆσ μάρτυροσ γενομένης καὶ κεκραγὼσ B || 18 ἀπὸ om B || 19 μικρὸν A λοιπὸν B | ἀρκεῖ γάρ σοι· B || 20 ἐγὼ γὰρ A καὶ πάλιν ἔλεγεν ψευδηγορῶν ἅμα δὲ καὶ πλανᾶν νομίζων καθὼσ ἔθοσ αυτω ἀναμιγνυων τὸ ψεῦδοσ τῇ ἀληθείᾳ· ἐγὼ B || 21 *Rufonem* interpres dicit | σχ τοῦ δράκοντοσ B

136r 1 καὶ A καὶ νῦν B | *et nunc per canticum et me perdere cupis* M || 2 καμε A· καὶ ἐμὲ B | νῦν om B || 3 ποιήσεισ B | ἐσφράγισεν B || 4 σταυρου καὶ ἐδρ B || 5 καὶ τοῦ . . . 16 αὐτοῦ om M | πωγονίου A πόγονοσ B | ὁ δέ A ut semper, non minus constanter post articulum demonstrativum δὲ duplici accentu notat B | ἔσυρεν B ἐσύρισεν A || 6 ἀντιτείνων B | καὶ A, καὶ μαρίνα πρὸσ ἑαυτὴν· καὶ ὡσ B | ἐφιλονίκουν B || 7 ἔλεγεν οὐαὶ οὐαί μοι B | γένιόν B | ἀλγεῖ πάνυ Ταῦτα δὲ ἔλεγεν ὁ δαίμων τῇ ἀοράτῳ δυνάμει τοῦ χυ κολαζόμενοσ. καὶ B || 8 ἡ om B | ἔσφιξεν πρ ἑ A πρ ἑ ἔσφιγξε B || 9 γένιον B | ἐξετεἰλ[η] cum litura A[1] ἔδοξεν ὅτι ἐξετίλθη B | εἰς A αὐτοῦ εἰσ B || 10 ὠλόλυξεν πάλιν ὁ δαίμων λέγων B | μοι om B || 11 ἔκρουσε B | σαπέντος A ἀποκοπέντοσ B | πώγονοσ A[1]B || 12 τοὺς . . δεξιὸν A τὸν δεξιὸν αὐτοῦ B

ἁγία Μαρίνα στραφεῖσα εἶδεν σφῦραν χαλκῆν, καὶ ἐκτείνασα τὴν χεῖρα αὐτῆς καὶ λαβοῦσα ἔκρουσεν εἰς τὸ μέτωπον αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ τὴν γῆν. καὶ ἔθηκε τὸν πόδα αὐτῆς τὸν δεξιὸν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔτυπτεν τὴν κεφαλὴν καὶ τὸν νῶτον αὐτοῦ μετὰ τῆς σφύρας τῆς χαλκῆς, καὶ ἔλεγεν αὐτῷ· Ἀπόστα ἀπ' ἐμοῦ δράκων, ἐπειδὴ τὸν θεὸν ἔχω τοῦ λοιποῦ ἀναχώρησον ἀπ' ἐμοῦ, ἀναίσθητε καὶ ἄνομε πατὴρ τῆς Γεέννης, ἐπειδὴ ὁ σταυρὸς τοῦ Χριστοῦ ἐπ' ἐμὲ ἀναπέπαυται καὶ ἀμνάς αὐτοῦ εἰμι ἐγώ καὶ περιστερά, καὶ νυμφιος ἐμοῦ ἐστιν, κἀγώ αὐτοῦ οἰκεία ὑπάρχω τοῦ σώσαντός με Χριστοῦ, τοῦ σταυρωθέντος καὶ ἀναστάντος καὶ τῇ σοφίᾳ αὐτοῦ ποιήσαντος τὰ πάντα καὶ μετὰ τὸ παύσασθαι τὴν ἁγίαν κόρην λέγουσαν ταῦτα φῶς ἐπέλαμψεν εἰς τὴν φυλακήν, καὶ ἦν σταυρὸς πεπηγὼς ἐν μέσῳ τῆς φυλακῆς φθάνων ἕως τοῦ οὐρανοῦ, καὶ περιστερὰ ἦν ἐπάνω τοῦ σταυροῦ· καὶ ἡ πόλις καὶ πᾶσα ἡ περίχωρος ἐφωτίσθη καὶ ἀπέλυσε φωνὴν ἡ περιστερὰ λέγουσα· Χαῖρε Μαρίνα, ὅτι κατῄσχυνας τὸν διάβολον· χαῖρε Μαρίνα, ὅτι τὸν δράκοντα ἀπὸ τοῦ τετραγώνου κατέβαλες· χαῖρε Μαρίνα, ὅτι τὸν μεμισημένον κατῄσχυνας· χαῖρε Μαρίνα, ὅτι διὰ τῆς προσευχῆς σου τὸ ἔλαιον τῆς εὐωδίας ᾐτήσω, διότι ἡτοίμασταί σοι ὁ στέφανος τῆς νίκης καὶ ἀνεῴγασιν σοι αἱ θύραι

14 ἁγία om B | σφύραν B σφοῖραν A | χαλκὴν B || 15 καὶ [λαβου]σα cum litura ueteris correctoris A λαβοῦσα τὴν σφύραν B | ἐσ B || 16 τὴν ὁ δαίμων καὶ B || 17 καὶ ἔτυπτεν . . 19 χαλκῆς om M cf p. 14 | 18 τῆσφοίρασ A || 20 τὸν χν ἔχω τὸν βοηθοῦντά μοι· τὸ λοιπὸν ἀναχώρει B || 21 πατερ B || 22 scr ἀναπέπταται || 23 καὶ om B | μου B || 24 αὐτῷ οἰκεία δούλη υπάρχω τοῦ B | με χυ εἰμὶ τοῦ στρωθέντοσ καὶ ταφέντοσ καὶ ἀν B || 26 τὰ A καὶ οώσαντοσ B || 27 ταῦτα B | ἔλαμψεν ἐν τῇ φυλακῇ B || 28 πεπηγῶσ B || 29 ἦν B | καὶ ἡ . . 30 ἐφωτ. om M || 30 ἀπέλυσεν B || 31 περ πρὸσ μαρίναν λέγουσα· B | χαῖρε . . 32 διάβολον] *beata es Margarita, quae draconem occidisti, quae dentes eius comminuisti* M ceteris usque ad l. 39 cum uariis tum in breuius contractis | ὅτι περ B || 32 διάβολον· νῦν χαῖρε B || 33 τετραγόνου A[1] | μεμησημένον B || 35 ἠτήσω B ἠ[τισο] litteras euanidas sicut in [στέφα]νος restaurauit m post. A | διότι om B | ἡτοιμάσθη B

τοῦ παραδείσου· καὶ οὕτως ἀναπαύσῃ εἰς τούς κόλπους
Ἀβραάμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ὅτι τόν δράκοντα ἀπέ-
κτεινας καί νῦν τόν ἄλλον δήσεις ἕως τῆς συντελείας τοῦ
αἰῶνος | ἀκουσασα δὲ τῆς φωνῆς ταύτης ἡ κόρη εἶ- 136v
πεν Δόξα σοι, κύριε Ἰησοῦ Χριστέ, ὅτι ἐφανέρωσας ἑαυ-
τὸν τῇ δούλῃ σου ἐν ταύτῃ τῇ φυλακῇ διά τοῦτο δοξάζω
σε, κύριέ μου Ἰησοῦ Χριστέ, ὁ κτισας με, || ὁ στερεώσας
με ἐν τῇ ἰσχύι σου, δόξα σοί, ὁ ἑδράσας τὴν τὴν ἐπὶ
τῶν ὑδάτων, αἰτῶ σε, κύριε, ἵνα καταξιώσῃς με λούσασθαι
ἐν τοῖς ὕδασι τούτοις, ὅ ἐστι λουτρὸν ἀθανασίας, βάπτι-
σμα μηδέποτε φθειρόμενον ἀλλὰ διαμένον εἰς αἰῶνας αἰ-
ώνων, ἀμήν. Καὶ πάλιν | ἐγένετο φωνὴ τῆς περιστερᾶς 137r
πρὸς Μαρίναν λέγουσα Κἂν νῦν ἐφ' ὃν καταπεπάτηκας,
Μαρίνα, κρατοῦσα αὐτὸν κατάμαθε τὴν καρδίαν αὐτοῦ καὶ
ἐξερεύνησον τήν ἐνθύμησιν αὐτοῦ, καὶ δήσεις αὐτὸν καὶ
οὕτως ἐλεύσῃ πρός με εἰρήνη σοι, Μαρίνα· καὶ μηδὲν εὐ-
λαβοῦ, ὅτι μετά σοῦ εἰμι

ἀνελθούσης δὲ τῆς περιστερᾶς εἰς τούς οὐρανοὺς Μαρίνα εἶπεν τῷ δαίμονι Τί σοι ὄνομα, πνεῦμα ἀκάθαρτον; ὁ δαίμων εἶπεν Βεελζεβούλ ἐστι τὸ ὄνομά μου εἶπεν δὲ αὐτῷ ἡ Μαρίνα πάλιν Τίς ἐστιν ἡ γένεσίς σου; τότε ὁ δαίμων λέγει αὐτῇ Νῦν παρακαλῶ σε, Μαρίνα, δούλη Χριστοῦ ἁγία, λάβε τὸν πόδα σου ἀπὸ τοῦ τραχήλου μου καὶ παῦσαι τύπτουσα τῇ σφύρᾳ, καὶ ὁμολογήσω

38 ιακώβ· ὅτι περ ἀπέκτεινασ τὸν δρ B || 39 τὸν ἀλλότριον δείσησ B

136v 1 ἀκούσασα . 137r 9 om M | ἡ ἁγία κόρη B || 4 μου εἰ ὁ κτισασ με om B | de turbis codicis A dixi ad p. 26, 17 | ὅτι ἐστέρεωσασ με B || 5 ἐδρασας A | ἐπὶ A ἐπάνω B || 7 ἀθανασίας A ἁγιωσυνησ B || 8 ἀλλά A μηδὲ ἀπολλυμενον ἀλλὰ B | εἰς αἰώνων A εἰσ τουσ αἰῶνασ τῶν αἰώνων B

137r 1 τῆς om B || 2 μαρίναν AB cf 18, 36 | κἂν A om B | ἐφ' om B | κατεπάτησασ B || 7 Καὶ ἀνελθουσησ τῆσ B || 8 τί σου τὸ ὄν. B || 9 sq *Tunc agens deo gratias* [uide f. 136v 1 sq.] *beata Margarita conuersa dixit Diabole, unde est natura tua* etc. M || 10 πάλιν ante ἡ B | ἡ γέννησίς σου ὁμολόγησόν μοι τὰ ἔργα σου· τότε B || 13 καὶ παῦσαι τ. τ. σφ] *ut quiescam modicum* M | σφοίρα A

σοι πάντα. ἡ δὲ ἁγία κόρη τοῦτο ἀκούσασα ἦρεν τὸν πόδα αὐτῆς ἀπ' αὐτοῦ. τότε ὁ δαίμων λέγει αὐτῇ· Φεῖσαί μου, ἡ ἀμνὰς τοῦ Χριστοῦ Μαρίνα, διότι πολλοὺς ἁγίους ἐγὼ οὕτως ἐδοκίμασα, καὶ οὐδεὶς ποτε ἠδυνήθη τὸν συγγενέα μου Ῥοῦφον ἀποκτεῖναι ὡς σὺ μόνη. καὶ οὐδεὶς ἠδυνήθη ποτὲ τὸν πόδα αὐτοῦ ἐπιθεῖναι ἐπὶ τὸν τράχηλόν μου· καὶ νῦν ἡττήθην παρὰ σοῦ, καὶ μετὰ τῆς χαλκῆς σφύρας ἐκ τῶν παγίδων μου ἑπτὰ συνέτριψας καὶ ἑκατὸν πληγὰς ἐπὶ τὸν νῶτόν μου ἐπέθηκας. ἐγὼ δὲ ἐρῶ σοι τὴν ἀλήθειαν, ὅτι ἐκ τοῦ σκοτεινοῦ καὶ ζοφεροῦ ἀέρος τὴν γένεσιν ἔχω· ἐγὼ οὖν λέγομαι ὁ Σατᾶν. νῦν δὲ σύ, Μαρίνα, ποίησον ὃ βούλει· θαυμάζω δὲ καὶ τὴν σοφίαν τὴν ἐν σοὶ οὖσαν· οὐχὶ ἕως ἀνεφάνη σοι ἡ περιστερὰ ἡ ἐπουράνιος, οὕτως ὑπῆρχες ὡσεὶ σποδὸς καὶ ἐφθαρμένη ὅλω τῷ σώματι· ἣν δέ σοι φανῇ τὸ φῶς τοῦ σταυροῦ ἐκ τοῦ οὐρανοῦ, ἄλλην ὁμοιότητα ἐν σοὶ ὁρῶ. πόθεν οὖν σοι πόδες χρυσοῖ καὶ οὗτος ἐσφράγισε τοὺς κόπους σου ὁ καρπός; ἐκεῖθεν οὖν τοῦ στόματός σου ἡ ἀποφορὰ ἐμὲ ἐταπείνωσεν, ἡ χρηστότης τῆς γλώσσης σου, καὶ οἱ ὀδόντες σου λευκοὶ ὡς τὸ γάλα, καὶ οἱ δάκτυλοί σου ἐσφραγισμένοι· καὶ νῦν πόθεν κατοικεῖ ἐν σοὶ περιστερά, εἰπεῖν οὐ δύναμαι· οὕτως νικήσασά με τὴν δύναμίν μου

14 τούτων B | ἐπῆρε B || 15 φεῖσαι ... 16 διότι] *Beelzes cognomen est mihi post Beelzebub* M || 16 ἡ om B || 18 μόνη A | νῦν B || 19 οὐδεὶσ ποτε ἠδυνήθη τὸν B | ἐπιθῆναι AB || 20 μου om B | *tu autem oculum meum eiecisti* [hoc delere oblitus est interpres, cum p. 29, 5 sqq. abiecisset], *uirtutem meam confregisti, Rufonem occidisti* M omissis 22 ἐγὼ ... 24 Σατᾶν || 21 σφοίρας A | ἑ[πτ]ὰ [συνέτρι]ψας litteris instauratis A || 23 ζοφώδους B || 24 ἐγὼ ... σὺ A: τοῦ λεγομένου σαταναήλ· σὺ δὲ νῦν B | ὁ σαταάν A || 25 ποίησον] *facis* M | ὃ A: μοι εἴ τι B | δὲ τὴν ἐν σοὶ σοφίαν οὖσαν B || 26 ἐνεφάνη B | ἡ ἐπουρ. om B || 27 ἐφθαρμένον ἦν ὅλον τὸ σῶμα σου· B || 28 ἵνα δέ σοι φανῇ A: ἀφοῦ δὲ ἐφάνη B || 30 χρυσοῖ: B | οὕτως ἐσφράγισται τοῦ κόπου B | *et signum Christi in te ostenditur, per quod in te fructus iustitiae maturus et suauitatis et gratiae plenus ostenditur?* M | 31 οὖν A: μὲν B || 32 τῆς γλώσσης σου A: σου ἐμοὶ πολεμία ἡ γλῶσσα B || 33 ὡς τῷ B || 34 καὶ νῦν ... 38 σου om M | σοὶ ἡ περ. B

κατέλυσας καὶ τῇ χαλκῇ σφύρᾳ τὸ μέτωπόν μου κατέκλασας καὶ τὸ γένειόν μου ἐξέτιλας καὶ τὸν τράχηλόν μου κατέκαμψας μετὰ τῶν ποδῶν σου. καὶ νῦν ὁ ἐν ἀρχῇ ὢν Χριστός κατοικεῖ ἐν σοί· ἐγὼ δὲ πολλῶν ἁγίων κόπους ἥρπασα ἐν τῇ ἐμῇ γαστρί. ἐγώ εἰμι ὁ ποιῶν διστάζειν | τούς ἁγίους καὶ δικαίους· ἐγώ εἰμι ὁ χλευάζων πάντα ἄν- 137v θρωπον τὸν βουλόμενον ἔρχεσθαι εἰς τὴν ἀσωτίαν· κἀγὼ αὐτὸν φυσιῶ ἄχρις καταλύσω τοὺς νεφροὺς αὐτοῦ καὶ σκοτώσω αὐτοῦ τὴν σύνεσιν καὶ ποιήσω αὐτὸν λήθῃ παραδοῦναι τὴν σοφίαν· καὶ καθ' ὅσον ποιήσω αὐτοὺς τῇ ἁμαρτίᾳ περιπεσεῖν, τότε τὰ βέλη μου τὰ πολεμικὰ βοηθήσουσίν μοι, καὶ οὕτως οἱ ἁπλούστεροι τῶν πολέμων μου εὑρεθήσονται νενικημένοι ὑπ' ἐμοῦ. καὶ οὕτως τοῦ ἅρματος καὶ [πολέμου τῶν σκευῶν] δέξονται ἀντὶ τῆς ἡδύτητος τῆς εὐωδίας ὀσμὴν σαπρίας, καὶ ἐμβαλῶ εἰς τὴν καρδίαν αὐτῶν πῦρ καιόμενον, καὶ οὕτως ἀκμέλατος αὐτοῖς ἐστιν ἡ ἁμαρτία, ὥσπερ μάχαιρα εἰσελθοῦσα εἰς τετράποδα, καὶ τάχιον ἀπὸ τοῦ τόπου ἐκείνου τὸ αἷμα ῥεῖ· οὕτως καὶ οἱ δίκαιοι· μετὰ τὸ ποιῆσαι τὴν ἁμαρτίαν καὶ τὸν λογισμὸν αὐτῶν μεταβάλλω καὶ οὕτως ταράσσω αὐτῶν τὴν καρδίαν, καὶ τότε πρὸς ἑσπέραν ἐν τῷ καθεύδειν αὐτοὺς ἐμβάλλω αὐτοῖς τὴν ἐπιθυμίαν, καὶ ἐν ταῖς παννυχίσιν αὐτῶν εὐχομένων ἀποτίθημι τὴν κεφαλήν μου πρὸς τὰς κεφαλὰς αὐτῶν καὶ οὕτως ἐμβάλλω εἰς τὸν νοῦν αὐτῶν ἐκεῖνο δι' οὗ ἐμιάνθησαν τῇ ἁμαρτίᾳ, καὶ οὕτως

36 κατέλυσας litteris refectis (ut 35 ο]ὐδ[ύναμαι) A κατεπάτησασ B | σφοίρα A || 37 ἐξέτειλας A || 38 ὁ ἀπαρχῆσ ὢν B || 40 ἐμὴ B | ποίων A

137v 1 ἀγίουσ B ανους A || 3 ἄχρισ ἂν καταλ B | καὶ οὕτωσ σκοτ B || 5 καὶ καθ' ... 16 ἑσπέραν om M | καὶ καθὼσ ἐποίησα B || 7 οἱ ἁπλούστεροι καὶ ἄπειροι των B | πολέμων AB || 8 sq τοῦ ἅρματος καὶ πολέμου τῶν σκευῶν AB turbatum est glossemate uocis ἅρματος (cf. adn. ad Christoph. f 22v) intruso quod fuerit πολεμικῶν σκευῶν, scriptum fuisse conicio ὑπ' ἐμοῦ καὶ τοῦ ἅρματος [uide quae dixit de telis u. 6], καὶ οὕτω δέξονται κτλ || 9 δέξονται A λήψονται πεῖραν B || 11 αὐτῶν] αὐτοῦ AB | ἀκμέλατος A ἀκμαία B || 13 τάχειον B || 14 καὶ τὸν λογ ... 20 ἁμαρτίᾳ om B homoeoteleuto deceptus || 16—21 inepte uariat M || 17 ἐμβαλῶ A

ἐμβάλλω δειλίαν εἰς τὴν καρδίαν αὐτῶν ἐγὼ δὲ ὁ Βεελζεβοὺλ πολλοὺς ἁγίους ἐπλάνησα καὶ νῦν ἡττήθην ὑπὸ τῆς νεάνιδος Χριστοῦ Μαρίνης καὶ πάλιν ἡ ἁγία κόρη εἶπεν αὐτῷ· Εἰπέ μοι, σύ κύων ἄτιμε καὶ τρισκατάρατε, πόθεν ἔχεις τὴν γένεσιν καὶ τίς ὁ γεννήσας σε καὶ τίς σοι ἐκέλευσε πρὸς τὰ ἅγια ἔργα ἐκεῖνα ἀντιπράττειν; ὁ δαίμων εἶπεν αὐτῇ Εἰπέ μοι σύ Μαρίνα, πόθεν σου ἡ ζωή, καὶ πόθεν σου αἱ σάρκες αἱ νῦν ἀνθοῦσαι ἐν σοί, καὶ πόθεν σου ἡ πίστις, καὶ πῶς εἰσῆλθεν τὸ πνεῦμά σου ἐν σοί καὶ εἰς τὸ σῶμά σου καὶ πῶς πάλιν ἔχει παραληφθῆναι, νῦν εἰπέ μοι, καὶ τότε ἐγὼ πάντα σοι ἀπαγγέλλω

Μαρίνα εἶπεν Οὐκ ἐνδέχεταί με ταῦτα σοὶ ἐξειπεῖν, ὅτι ἀπὸ τοῦ θεοῦ εἰμι ἐγώ· σὺ οὖν, διάβολε, ὁμολόγησόν μοι συντόμως πρὸ τοῦ ἐλθεῖν τὸν ὄλεθρον ἐπὶ σέ. τότε ὁ δαίμων λέγει αὐτῇ Πρὸ τούτου κἀγὼ ἅγιος ἤμην νῦν δὲ οὐχ οὕτως ἀλλὰ διὰ τὴν κακήν μου προαίρεσιν εἰμί δαίμων δεδεμένος ὑπὸ τοὺς πόδας σου καὶ νῦν ἀναγγέλλω σοι οὕτως· οὐδεὶς δύναται ἐν τῷ γένει ἡμῶν. |
138r ἠκούσαμεν γὰρ παρὰ τῶν ἀρχόντων ἡμῶν, ὅτι ὁ Σατανᾶς ἡμῶν ἄρχει ἄνωθεν ἐκ τῶν οὐρανῶν πεπτωκώς· καὶ οὗτος ὁ Σαταναὴλ ἔλαβεν εἰς γυναῖκα τοῦ Διὸς τὴν θυγατέρα· καὶ οὗτος, ἡ θυγάτηρ τοῦ Διός, ἐγενήθη δαίμων τέλειος

21 αὐτῶν A αὐτῶν εἰσ ἀπόγνωσιν αὐτουσ ἕλκων σρίας B | ἐγὼ . . 23 Μαρίνης] ualde amplificata et aucta (sine nomine Beelzebul) dat M ‖ 22 sq παρασοῦ τῆσ παιδὸσ τοῦ χυ μαρίνασ· B ‖ 24 συ A. νῦν B ‖ 25 σοι A σε B contra usum horum scriptorum, cf quae dixi ad Pelagiae fabulas 25, 33 p 57 ‖ 26 ἐκέλευσεν B ‖ 27 δαίμων A δὲ B | 27—31 de CM uide supra p 9 ‖ 28 αἱ νῦν . . 29 πόθεν A νῦν ἐν σοὶ ἀνθοῦσαι καὶ πόθεν ἡ ψυχή σου· ἢ πόθεν B ‖ 29 ἐν σοὶ et 30 σου om B ‖ 31 ἀπαγγελῶ B ‖ 32 ἐνδέχετέ B ‖ 35 δαίμων A] τοῖσ αὐτοῖσ τρόποισ χρώμενοσ καὶ τὸ ψεῦδοσ τῇ ἀληθείᾳ συμφύρων, subicit B cf. adn ad p. 29, 20 | Πρὸ . . p 35, 21 γεγεννήμεθα] *Malis moribus meis et ego sum quod sum, alligatus sub pedibus tuis, quia quanda exaltatus est caelus aeterni praecepto, quicumque spiritus relicti sunt sub firmamento, facti sunt in ferocitate, etiam facti sumus angeli desertores.* C Πρὸ . . 1 ὅτι om M | νυνὶ B ‖ 37 ἀναγγελῶ σοι ὃ. οὐδεὶσ sic B

138r 1 γὰρ A δὲ B | ὅτι περ ὁ B ‖ 2 ἀρχῆ B | πεπτωκῶσ B | καὶ οὗτος . . 7 om M | οὕτως AB ‖ 3 σαταναὴλ B σαταὴλ A ‖ 4 et 5 οὕτωσ B | ἐγεννήθη AB

καὶ οὗτος συμμίγνυται αὐτῇ ὥςπερ ἀνδρόγυνον, καὶ τίκτει ἐξ αὐτοῦ ᾠὰ ἀντὶ γεννήσεως· καὶ ἐξ αὐτῶν τῶν ᾠῶν ἐξέρχονται δαίμονες πονηροί καὶ ἐκεῖνοι ἀποστέλλονται ἔνθα ἂν κελευσθῶσιν καὶ ὅπου ἂν αἰσθώμεθα ἢ ἀκουσωμεν ἔργον δικαίων, ἀπερχόμεθα πολεμοῦντες κατ' αὐτοῦ· μὴ ὅτι ὁ δαίμων δύναται γνῶναι τῶν ἀνθρώπων τὰς καρδίας, ἀλλ' οὐδὲ ἡμεῖς οἱ ὑπηρέται αὐτοῦ καὶ ἐάν νῦν γνῷ ὅτι τὸν υἱὸν αὐτοῦ ἀπέκταγκας, πάνυ ἔχει χαλεπᾶναι κατὰ σοῦ οἱ δὲ πρῶτοι ἀρχιδαίμονες λέγονται ἐν Αἰγύπτῳ καὶ Αἰθιοπίᾳ γεγονέναι, καθὼς εἰς τὴν Ἔξοδον Μωυσέως περὶ Ἰαννὴ καὶ Ἰαμβρὴ περιέχει. καὶ ὅτ' ἀνυψώθη ἐπὶ τὸν σταυρὸν ὁ ἀθάνατος, καὶ οὗτος πλέον τότε τῷ προστάγματι καταρριφεὶς ὡς τὸ πρότερον ἀπὸ τῆς μακαρίας διαγωγῆς τῶν ἀγγέλων, καθὼς αὐτὸς ὁ κύριος ἐν τοῖς ἁγίοις εὐαγγελίοις εἶπεν, ὅτι Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ καὶ λοιπὸν λέγουσιν οἱ μὲν περὶ ἡμῶν ὅτι ἀπὸ τῶν πονηρῶν γυναικῶν τῶν ἀρχαίων γεγενήμεθα· ἡμεῖς δὲ οὐ γινώσκομεν πόθεν ἔχομεν τὴν γένεσιν ἡ δὲ ὁδὸς ἡμῶν οὐκ ἔστιν ἐπὶ τῆς γῆς ὅπου οἱ ἄνθρωποι

5 συμίγνυται B ‖ 6 ἀντὶ A ἀντι τησ B ‖ 8 αἰσθανθῶμεν καὶ B | ἀκουσωμεν B ἀκουσομεν A ‖ 9 fort. scr δίκαιον | αὐτῶν μή τι οὖν δαιμων B | 10 μὴ ὅτι . . . 11 αὐτοῦ om M | τὰσ ante τῶν B ‖ 12 ἀπέκτανκας AB | χαλεπάναι A χαλεπεῖναι B ‖ 13 sq. om M ‖ 13 ἐν αἰγυπτω γὰρ καὶ αἰθ γεγόναμεν B | 14 nomina iacet Exod 7, 11 sq 22. 8, 7 cet, prodidit historia fabularis cf. Freudenthalius De Alexandro Polyh p 173, interpres Aegypti Aethiopiaeque oblitus illam tradit sententiam *quia nos facti sumus angeli desertores, in libris tamen Iannae et Mambrae inuenies genus nostrum, scrutare et uide* M, ac sane a Gelasio papa epist 42, 7 p 466 Thiel 'liber qui appellatur Paenitentia Iamnae et Mambrae apocryphus' notatur ‖ 15 ἰαμβρὶ B | περιέχει eadem licentia adhibetur iam in titulo Carico a 116 aut proximi καθὼς καὶ διὰ τῶν ψηφισμάτων περιέχει (*Bull de corresp hellén* 1885 t ix p 347), minus licenter in titulo Cumaeo (Euang scholae Smyrn mus 1876 n, ρια, 42) καθὼς ἡ κτῆσις περιέχει cf Euseb h eccl ix 1, 2 [Gregor thaum] in Migni patr gr 10, 1164c | καὶ ὅτ' . . . 21 γεγεννημεθα om M | ὅτ' ἂν ὑψώθη A ὅτε ἀνυψώθη B ‖ 16 καὶ οὗτος . . . 18 ἀγγέλων A τῶ προστάγματι αὐτοῦ ῥιφέντεσ ἀπὸ τῆσ μακαρίασ διαιτησ τῶν ἀγγέλων καταχθονίοισ κατεδικάσθημεν B ‖ 18 ἁγίοις om B opinor recte | cu Lucae 10, 18 ‖ 19 σατανὰν B ‖ 20 οἱ μὲν ante λέγ B cf Genes 6, 2 ‖ 22 γινώσκωμεν B | ἔχωμεν τὴν γέννησιν B

περιπατοῦσιν, ἀλλὰ διὰ τοῦ ἀέρος περιπατοῦμεν ἀναγκαζόμενοι νυνὶ δὲ ἔστηκα ἔμπροσθεν σοῦ. σὺ δὲ δῆσόν με, ἁγία Μαρίνα, καὶ ὁρκίζω σε κατὰ τοῦ ἰσχυροῦ καὶ ἐνδόξου θρόνου, ἵνα μὴ ἀποκτείνῃς με καὶ ἔσομαι δεδεμένος ἕως τοῦ αἰῶνος. ἄχρις δὲ Σολομῶντος ἦμεν φυλαττόμενοι εἰς πίθους ἐγκεκλεισμένοι τῇ σφραγῖδι τοῦ Σατανᾶ ὅτε δὲ ἦλθον οἱ Βαβυλώνιοι, ἡμεῖς ἐποιήσαμεν φλόγα ἀπὸ τῶν ἀγγείων· οἱ δὲ ἐνόμισαν ἰδόντες θησαυρὸν λάμποντα, καὶ ἐλθόντες ἤνοιξαν τοὺς χαλκοῦς πίθους νομίζοντες χρυσίον εὑρεῖν· ἡμεῖς δὲ ἀπολυθέντες ἐφύγομεν εἰς τὴν ὑπ' οὐρανόν

καὶ μετὰ ταῦτα ἡ ἁγία κόρη Μαρίνα ἔδησεν αὐτὸν τῷ σημείῳ τοῦ σταυροῦ, καὶ οὕτως ἐκ τοῦ γενείου σύρουσα αὐτὸν ἀπήγαγεν εἰς τὴν γωνίαν τῆς φυλακῆς καὶ ἐσφρά-
138v γισεν τὴν γῆν ἡ δὲ γῆ ἠνοίχθη, καὶ ἀνωθησαμένη | ἔρριψεν αὐτὸν ἐκεῖ λέγουσα αὐτῷ Ὕπαγε εἰς τὸν βυθὸν τοῦ ᾅδου ἕως ἂν δῷς λόγον περὶ τῶν ψυχῶν ὧν ἀπώλεσας.

ἡ δὲ γῆ ὑπεδέξατο αὐτὸν εἰς ἑαυτήν. ἡ δὲ ἁγία ἀποστραφεῖσα ἔκλινεν τὸ γόνυ καὶ προσηύξατο. καὶ μετὰ τὸ τελειῶσαι τὴν εὐχὴν εἶπεν τὸ ἀμήν, καὶ ἐσείσθη ἡ γῆ.

πρωΐας δὲ γενομένης ἐκέλευσεν ὁ ἔπαρχος τὴν ἁγίαν προσαχθῆναι οἱ δὲ ὑπηρέται ἔλαβον αὐτὴν ἀπὸ τῆς φυλακῆς καὶ ἀπήγαγον εἰς τὸ πραιτώριον καὶ προσαχθεῖσα τῷ ἐπάρχῳ κατεσφραγίσατο ὅλον τὸ σῶμα αὐτῆς τῷ σημείῳ τοῦ σταυροῦ τοῦ Χριστοῦ. οἱ δὲ ὄχλοι πάντες παρε-

25 ἔμπροσθέν A προπροσώπου B | σὺ A αὐτη B || 28 ἄχρι γὰρ B fort ἀπὸ χρόνων δὲ ? cf *nam Salamon in uita sua inclusit nos in uno uase* M *usque in uita Salomonis* C || 29 πίθουσ χαλκουσ ἐγκ B | σατανᾶ A σαταναὴλ B immo Σολομῶντος ut legit interpres *in uasibus — signatis ab eo* C cf. M supra l 28 || 31 ἰδόντεσ ἐνόμισαν θησ εἶναι λ B || 33 ὑπουνον A ὑπουνόν B || 36 οὕτω δια τοῦ B || 37 ἐσφράγησε B

138v 1 καὶ ὠθήσασα B || 2 βύθαν A || 3 δῶς A δώησ B || 4 ἡ δὲ ἁγία 6 γῆ non nouit interpres | ἡ δὲ ἁγία 5 ἔκλινεν A καὶ πᾶσα αὐτοῦ ἡ φαντασία ἀφανὴσ ἐγένετο καὶ ἀποστραφεῖσα ἡ ἁγία ἔκλινε B || 5 καὶ ηὔξατο B || 8 ὑπηρέται] *speculatores* C || 11 παρεγένον[τω] cum rasura, eraso etiam super o accentu acuto B

γένοντο θεάσασθαι αὐτήν καὶ ὁ δικαστὴς ἰδὼν αὐτὴν εἶπεν πρὸς αὐτήν Θῦσον τοῖς θεοῖς, μειράκιον, τοῖς λεγομένοις Διὶ καὶ Καλανδίωνι καὶ τῷ μεγάλῳ Ῥούφῳ. διὰ γὰρ τὸ κάλλος σου πρέπει σοι ἱερατεύειν αὐτοῖς. Μαρίνα εἶπεν Μὰ τὴν σωτηρίαν τῶν Χριστιανῶν, ἐὰν θελῃς ἄξιος εἶ δοῦλος εἶναι τοῦ κυρίου μου Ἰησοῦ Χριστοῦ καὶ φίλος τῶν ἁγίων καὶ μὴ τοῖς οὐκ οὖσι θεοῖς λατρεύειν

ταῦτα ἀκούσας ὁ ἔπαρχος γυμνωθεῖσαν αὐτὴν ἐκέλευσε κρεμασθῆναι ἐπὶ τὸ ἄρρητον μάγγανον, ⟨καὶ προσενεχθῆ- B
ναι αὐτῇ τὸ πῦρ τῶν λαμπάδων ἡ δὲ ἀτενίσασα τοῖς ὀφθαλμοῖς εἰς τὸν οὐρανὸν ἤρξατο λέγειν οὕτως Κύριε Ἰησοῦ Χριστέ, μὴ ἐγκαταλίπῃς με καὶ μὴ ἀποστήσῃς ἀπ' ἐμοῦ τὸ ἔλεός σου· περὶ σοῦ γὰρ ἤτασάν με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀνομία· ὅπως τὸ στόμα μου μὴ λαλήσῃ τὰ ἔργα τῶν ἀνθρώπων. καὶ νῦν, κύριε, διῆλθον διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήνεγκάς με εἰς τὴν ἀνάπαυσίν σου. καὶ εἶπεν αὐτῇ ὁ δικαστής Πείσθητί μοι, Μαρίνα, διότι οὐ δύνασαι κόρη ὑπάρχουσα ἀφανίσαι τὸν θεσμὸν τῶν βασιλέων καὶ τὰς τῶν θεῶν ἡμῶν συναγωγάς Μαρίνα εἶπεν· Οὐ παρασαλεύω τὴν κέλευσιν τῶν βασιλέων, ἀλλ' οὐδὲ πείθομαι αὐτοῖς καὶ ἐπιθύω, διότι ὁ πατήρ σου ὁ Σα-

13 αὐτῇ· sine πρὸς B | θῦσον μειράκιον τοῖσ B || 14 nomina deorum tacet interpres; ipsa triadis Antiochenae nomina habes infra in actis Christ f. 21v ext. | Καλανδίωνι i. e. non numini kalendarum, ut finxerunt Natalem et Πεντετηρίδα, sed Apollini Νουμηνίῳ | κάλοσ B || 16 θέλεισ B || 17 dele εἶ || 19 ὁ ἔπαρχος A ὀλυβρισς ὁ ἔπαρχοσ εἶπεν B || 20 κρεμμάσατε ἐπὶ B cf *dispoliate eam et in eculeo suspendite eam, et adplicate lampadas lateribus eius ut comburantur membra eius* C | μάγγανον cf Sagittarius De martyrum cruciatibus c. 17 p. 318 sqq et de lampadibus admotis p. 327 sq. ed II | καὶ προσεν . . . . 38 ἀγγείῳ licet adulterata supplenda erant ex B, cf P infra p 47, eadem sed multo breuiora dat C magisque M | προσενέγκατε B || 21 ἀτενήσασα B || 23 ἐγκαταλείπησ B || 24 ἤτασαν B || 25 ὅπως . . . ἀνθρώπων nunc non quadrant nec nouit interpres, sed cf proxima || 26 sq occupari uidentur nondum acta sed potius quomodo precibus sanctae uirginis tormenta elusa sint, omissum est uidetur et haec narratio et cum extremis precibus iotium gratiarum actionis ante 25 ὅπως intercidisse *transeo per ignem et aquam, et deducis me in refrigerium* C || 28 δικαστῇσ B || 30 *et conuentum omnium deorum* C

τανᾶς οὐ δύναται παρασαλεῦσαι τὴν πίστιν τῆς δούλης τοῦ θεοῦ τὴν οὖσαν ἐν ἐμοί παρ' αὐτοῦ τοῦ κυρίου μου Ἰησοῦ Χριστοῦ· ἐσφράγισται γάρ ἐν αὐτῷ ἐν τῇ δόξῃ τοῦ στεφάνου αὐτοῦ καί δή τοτε ὁ δικαστὴς προσέταξε σκεῦος ἐνεχθῆναι καὶ πληρωθῆναι ὕδατος, καί δεδεμένην *A* βληθῆναι τὴν ἁγίαν ἐν τῷ ἀγγείῳ,〉 ἵνα ἀποπνιγῇ ἐν αὐτῷ οἱ δὲ ὑπηρέται δήσαντες αὐτὴν ἔβαλλον εἰς τὸ ἀγγεῖον. ἡ δέ ἁγία ἤρξατο εὔχεσθαι καί λέγειν Κύριε Ἰησοῦ Χριστέ, ὁ ἀναστραφείς εἰς τόν αἰῶνα τοῦτον, λῦσόν μου τά δεσμά, ἵνα σοι θύσω θυσίαν αἰνέσεως καὶ νῦν, κύριε, γενηθήτω μοι τὸ ὕδωρ τοῦτο εἰς χρηστότητα ἐλέους καὶ ἀντὶ τοῦ πνιγῆναί με εἰς σωτηρίαν αἰώνιον γενηθήτω μοι, εἰς ἁγιασμόν, εἰς μυστήριον βαπτίσματος, ὅπως δοξασθῇ σοῦ ἡ δύναμις· ὁ κατοικῶν τὸν αἰῶνα σκεπάσῃς με τῷ πνεύματί σου ὑπὸ τὴν ἁγίαν σου στολήν. ἐλθέτω δή ἡ ἁγια περιστερά σου τοῦ πνεύματός σου τοῦ παναγίου καί ζωοποιοῦ καί ζωοπαρόχου ἐν τῇ κολυμβήθρᾳ ἐν τῷ ὕδατι τούτῳ νηχομένη, ὥστε εὐλογηθῆναι ὑπ' αὐτῆς καί ἀπόδυσον με τόν παλαιόν ἄνθρωπον τον φθειρόμενον, καί ἔνδυσόν με τόν νέον τόν ἀνακαινοῦντά με γένοιτο, κυριε Ἰησοῦ Χριστε, ἐν τῷ ὕδατι τούτῳ ἀποκαθαρισθῆναί με διά τῆς φιλανθρωπίας σου στερέωσον, κύριε, τήν πίστιν μου καί φώτισον τάς φρένας μου ἀφιείς μοι πάσας τὰς ἁμαρτίας μου καὶ λύτρωσαί με ἐν τῇ δόξῃ σου καί εἴ τι

ἀνὴρ δέ τις ὀνόματι Βαχθιοῦς τῶν τῆς ἀκολασίας τῶν δαιμόνων ὑπηρέτης, ἀκούσαντος αὐτοῦ ταῦτα λέγοντος, ἐγγίσας ἤρξατο τύπτειν αὐτοῦ τὸ στόμα· ὁ δὲ μακάριος προσχὼν αὐτῷ εἶπεν· Κατέχομαι ὑπὸ τοῦ Χριστοῦ μου, δέδεμαι ὑπὸ τοῦ σωτῆρος, καὶ οὐ δύναμαί σοί τι ποιῆσαι· ἐὰν δὲ πικράνῃς μου τὴν καρδίαν, σὺ παρ' ἐμοὶ οὐχ ὑπάρξεις οὐδὲ τὸ βασίλειον ὑμῶν τὸ κατεφθαρμένον. ἀναχωρήσας δὲ ἀπ' αὐτοῦ ὁ Βαχθιοῦς ἦλθε πρὸς τὸν βασιλέα καὶ λέγει αὐτῷ· Βασιλεῦ, εἰς τους αἰῶνας ζῆθι· κατὰ το θειον θέσπισμα τοῦ κράτους σου ἐπιδεικνυοντος τοῦ ἄρχοντος τὸ πρόσταγμα καὶ πάντων τὴν υπακοὴν ποιουμένων ἐφάνη ἐνωπιον τοῦ λαοῦ ἀνὴρ νεανιας φοβερὸς τῶ εἴδει και ὑπερμεγέθης τῶ παχει· καὶ οἱ ὀφθαλμοὶ αυτοῦ ὡς ὁ ἀστὴρ ὁ πρωὶ ἀνατέλλων, καὶ οἱ ὀδόντες αὐτοῦ ὡς συαγρου ἐξέχοντες· καὶ διηγήσασθαι οὐ δυναμαι τὸ εἶδος τῆς ὁράσεως αὐτοῦ· οὗτος λαλεῖ ῥηματα βλασφημα κατα τῶν θεων καὶ κατα

ἐρράπισα αὐτόν· εἶπεν δέ μοι ὅτι Κατέχομαι ὑπό τινος Χριστοῦ· ἐὰν δὲ ἡ καρδία μου πικρανθῇ, ἔτι ὑμεῖς παρ' ἐμοὶ οὐχ ὑπάρξετε· ἐγὼ οὖν ἐμήνυσα τῷ κυρίῳ μου, ἵνα εἰδῇς τὰ περὶ τοῦ ἀνδρός, μή ποτε ὑπήκουσεν ὁ θεὸς τῶν Χριστιανῶν τῆς δεήσεως αὐτῶν. Δέκιος εἶπεν· Δαιμόνιον ἔχεις καὶ οὕτως σοι ἐφάνη ... ἐκέλευσεν οὖν παρ' αὐτὰ διακοσίους στρατιώτας ἀπελθόντας πιάσαι αὐτὸν λέγων αὐτοῖς· Ἐὰν ἀντιστῇ ὑμῖν, κρεοκοπήσατε αὐτὸν καὶ [τούτους ἀποστείλας εἰς βοήθειαν αὐτοῦ εἶπεν πρὸς αὐτούς] μόνον τὴν κεφαλὴν αὐτοῦ ἐνέγκατέ μοι, ἵνα ἴδω αὐτὴν ὁποία ἐστίν, ἐπειδὴ πολὺ θαυμάζει εἶναι αὐτὸν δυνατόν.

αὐτῶν δὲ ταῦτα σκεπτομένων ὁ μακάριος Ῥέπρεβος ἀπελθὼν ἔμπροσθεν τῆς ἐκκλησίας ἐξ ἐναντίας τῆς θύρας ἐκάθισεν πήξας τὴν ῥάβδον αὐτοῦ, καὶ τὴν τρίχαν αὐτοῦ διαρρίψας ἔνθεν καὶ ἔνθεν, τὴν δὲ ὄψιν ἐπὶ τὰ γόνατα θέμενος προσηύχετο λέγων· Κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ἐπάκουσόν μου ὁ ἐπακούσας τῶν τριῶν δούλων σου ἐν πυρί· ὁ ἐν οὐρανοῖς ὑπὸ τῶν εἴκοσι τεσσάρων πρεσβυ-

2 ἔτι] fort ὅτι ‖ 4 ἴδησ correxi ex *B* ‖ 6 τουτους ... 9 πρὸς αὐτούς uaria lectio uerborum u 6 ἐκέλευσεν ... 8 αὐτοῖς falso loco interpsit ‖ 10 cf. *P* οὕτως ἐφάνη ὑμῖν θαυμαστὸς καὶ δύναμιν ἔχων πολλήν ‖ 11 θαυμάζει εἶναι *A*, θαυμάζεισ *B*, an θαῦμα εἶναι? ‖ 18 sq. secundum Apocalyps. 4, 4 sqq., 5, 6 sqq., cuius scriptor quattuor animalia petiit ex Ezech. 1, 5 sqq.

τῆς θειότητός σου. ἐγὼ δὲ ἀκούσας ἐρράπισα αὐτόν· εἶπεν δέ μοι αὐτός· ὅτι Κατέχομαι ὑπό τινος Χριστοῦ· ἐὰν δὲ πικρανθῶ, τὸ βασίλειον ὑμῶν οὐχ ὑπάρξει μοι. ἐγὼ οὖν ἐμήνυσα τῷ κυρίῳ μου, ἵνα εἰδῇς τὰ περὶ τοῦ ἀνδρός· μή ποτε ὁ | θεὸς τῶν Χριστιανῶν 253r εἰσήκουσε τῆς δεήσεως αὐτῶν καὶ τοῦτον ἀπέστειλεν εἰς βοήθειαν αὐτῶν. ... τότε χολέσας ὁ βασιλεὺς Δέκιος εἶπεν· Μὴ δαιμόνιον ἔχεις καὶ οὕτως σοι ἐφάνη οὗτός σοι; ... καὶ ἐκέλευσε διακοσίους στρατιώτας ἀπελθεῖν τοῦ πιάσαι αὐτόν· ἐὰν δὲ ἀντιστῇ ὑμῖν, φησί, κρεοκοπήσατε αὐτὸν καὶ μόνον τὴν κεφαλὴν αὐτοῦ ἐνέγκατέ μοι, ἵνα ἴδω ὁποία ἐστίν, ἐπειδὴ οὕτω θαυμάζεις αὐτὸν ὡς δυνατόν.

αὐτῶν δὲ ταῦτα σκεπτομένων ὁ μακάριος Ῥέπρεβος ἀπελθὼν ἔμπροσθεν τῆς ἐκκλησίας ἄντικρυς τῆς θυρίδος ἐκάθισεν ἐμπήξας τὴν ῥάβδον αὐτοῦ ἐν τῇ γῇ καὶ τὴν τρίχα αὐτοῦ διαρρίψας ἔνθεν καὶ ἔνθεν, τὴν δὲ ὄψιν ἐπὶ τὰ γόνατα θεὶς προσηύχετο λέγων· Κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ἐπάκουσόν μου ὁ ἐπακούσας τῶν τριῶν παίδων σου ἐν πυρί· ὁ ἐν οὐρανοῖς ὑπὸ τῶν εἰκοσιτεσσάρων πρεσβυτέρων

τέρων δοξαζομενος καί ὑπό τῶν τεσσάρων ζῴων ὑμνούμενος καί ἐπί τῇ κινήσει αὐτῶν τερπόμενος τήν ἐκείνων συμπάντων δέησιν ἐπάκουσόν μου σημερον εἰς ἀγαθόν, ἵνα γνωσθῇ σου ἡ πολλὴ ἀγαθότης ἐπ' ἐμοί τῷ ἀλόγῳ καὶ δὸς βλαστῆσαι, κύριε, τὸ ξυλον τουτο, ὁπως κἀγὼ προθυμοτερον εἰς τὴν δοξαν σου εἰσέλθω καί εὐθέως ἡ 20r ράβδος ἐβλαστησε και τόν ἄνδρα | ἰσχυροποιησεν ταῦτα δε αυτοῦ προσευχομενου ἰδου εἰσῆλθεν γυνη συλλέξαι ῥοδα, και τοῦτον ἰδοῦσα καθήμενον καί κλαιοντα ὄπισθεν ἑαυτὴν δέδωκεν, καί ἐλθοῦσα διηγεῖτο γειτοσιν Ὅτι μέν ναός θεοῦ ἐστιν, δῆλον· ὃ δὲ εἶδον, δράκων ἐστίν καί διά τοῦτο κλαίει καί ταῦτα λέγουσα ἦλθον οἱ στρατιῶται ζητοῦντες αὐτόν ὡς δὲ ἤκουσαν τὰ ῥήματα τῆς γυναικός, ἠρώτων αὐτὴν λέγοντες Ποῦ εἶδες τὸν ἄνθρωπον, ἡ δὲ ὑπέδειξεν αὐτόν. κατὰ δὲ τὴν φήμην τοῦ ἀνδρός οὐκ ἐτόλμων προσκολλᾶσθαι αὐτῷ, ἐκ δὲ τοῦ ὄρους καταδραμόντες

10 γείτοσιν cf *BP* τισὶν *A* || 11 δια τοῦ | τοῦτο sic cod vix sanum, fort διάτορον cf. 61, 4

προσκυνουμενος καὶ ἐπὶ γῆς ὑπὸ τῶν ἁγίων σου ὑμνούμενος· ὁ ἐπὶ τεσσάρων ἁγίων ζῴων Χερουβὶμ ἐποχουμενος καὶ ἐπὶ τῇ κινήσει αὐτῶν εὐφραινόμενος τὴν ἐκείνων παντων δέησιν προσάγω σοι ἐπάκουσόν μου σημερον καὶ ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, ἵνα γνωσθῇ σου ἡ ἀγαθότης ἐπ' ἐμοὶ τῷ ἀλόγῳ· καὶ δὸς κυριε βλαστῆσαι τὴν ῥαβδον ταυτην ὡς τὴν ῥάβδον Ἀαρών, ὅπως κἀγὼ προθυμοτέρως εἰς τὴν δόξαν σου προσέλθω, καὶ δοξάσω σε τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνευμα εἰς τους αἰῶνας, ἀμήν καὶ ἐν τῷ προσεύξασθαι αὐτὸν εὐθέως ἡ ῥάβδος ἐβλάστησε καὶ ἰσχυροποίησε τὸν ἄνδρα τοῦ θεοῦ ἰδὼν γὰρ τὸ θαῦμα 253v ἔτι προθυμότερος ἐγένετο καὶ πάλιν προσηύξατο λέγων Τὸ τέλειον φρόνημα τῶν Χριστιανῶν καὶ γνωστικὸν μυστήριον τῆς ἀθανάτου σου δυνάμεως, βοηθησόν μοι κύριε Ἰησοῦ Χριστέ, τῷ δούλῳ σου, ὅτι σοῦ ἐστιν ἡ δόξα εἰς τους αἰῶνας, ἀμήν αὐτοῦ δὲ προσευξαμένου κόρη τις συνηθειαν ἔχουσα συλλέγειν ῥόδα εἰσήει εἰς τὸν παράδεισον, καὶ τουτον ἰδοῦσα καθήμενον καὶ κλαίοντα ὄπισθεν ἔδωκεν ἑαυτὴν ὑποστρέψασα καὶ προσελθοῦσα διηγεῖτο τοῖς γείτοσι λέγουσα Ἔμπροσθεν τοῦ ναοῦ τοῦ θεοῦ εἶδον ἄνδρα κλαίοντα φοβερόν ὃν τινα ἰδοῦσα ἔφυγον ἀπὸ προσώπου δράκοντος αὐτῆς δὲ λεγούσης ταυτα ἦλθον οἱ στρατιῶται ζητοῦντες αὐτόν ὡς δὲ ἤκουσαν τους λόγους του κορασίου, εἶπον Ποῦ εἶδες τὸν τοιοῦτον ἄνθρωπον μήνυσον ἡμιν ἡ δὲ ὑπέδειξεν αὐτοῖς τὸν τόπον διὰ δὲ τὴν φήμην τοῦ ἀνδρὸς οὐκ ἐτόλμων κολλᾶσθαι αὐτῷ, δι' ἑτέρου δὲ τόπου καταδραμοντες ἐσκόπουν τὸν ἄνδρα.

ἐσκόπουν τὸν ἄνδρα ὁ δὲ ἀθλητὴς τοῦ Χριστοῦ ἀναστὰς καὶ τὰς χεῖρας ἐκτείνας ἐδέετο τοῦ κυρίου οἱ δὲ στρατιῶται λέγουσιν αὐτῷ Τίς εἶ σὺ καὶ τί σοι ἐστίν, ὅτι κλαίεις ἰσχυρῶς, καὶ ἀποκριθεὶς Ῥέπρεβος εἶπεν Κλαῦσαί με δεῖ παρὰ πάντα ἄνθρωπον ὅτι μὴ γνοὺς θεὸν οὐκ ἐνεκλήθην, νῦν δὲ ἐπιγνοὺς αὐτὸν τυραννοῦμαι εἶπαν δὲ πρὸς αὐτον Ἡμεῖς προς σε ἀπεστάλημεν ἀπάξαι σε δεσμιον προς τὸν ἡμῶν βασιλεα, ινα θεοὺς ὁμολογῇς και μη θεὸν εἶπεν δὲ προς αὐτους ὁ ἀθλητὴς τοῦ Χριστοῦ Ἐὰν μὲν ἰδίῳ θεληματι θελησω ἐλθεῖν πρὸς αὐτόν, ἔλθω μεθ' ὑμῶν ἐπεὶ δέσμιόν με οὐκ ἀπάξετε ὁ γὰρ Χριστός μου ἐλθὼν τὰ δεσμὰ τῶν αμαρτιῶν ἔλυσεν καὶ ἐρρύσατο ἡμᾶς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ Σατανᾶ λέγουσιν αὐτῷ οἱ στρατιῶται Ἐὰν βούλῃ ἐλθεῖν μεθ' ἡμῶν, ἐλθέ εἰ δὲ μή, ἡμεῖς ἀπελθόντες λέγομεν τῷ βασιλεῖ ὅτι οὐχ εὕρομεν αὐτόν, καὶ συ ἀναχωρήσας πορεύου ὅπου βούλει. εἶπεν δὲ ὁ ἅγιος τοῦ Χριστοῦ μάρτυς Οὐχί, ἀλλὰ κἀγὼ ἐλθὼν μεθ' ὑμῶν ὑποδείξω ὑμῖν τοῦ Χριστοῦ τὴν χάριν. μόνον

14 βούλει

ὡς δὲ εἶδον αὐτὸν καθήμενον καὶ κλαίοντα, εἶπον πρὸς ἀλλήλους Τί τοσοῦτον ἐφοβήθημεν τὸν ἄνδρα, γυμνὸν γὰρ ὁρῶμεν αὐτόν, καὶ ὅπλον οὐχ ὑπάρχει αὐτῷ καὶ προσελθόντες λέγουσιν αὐτῷ Τίς εἶ σὺ καὶ τί κλαίεις οὕτως ἰσχυρῶς, καὶ τῇ μὲν λαλιᾷ ἀπεκρίνατο αὐτοῖς, πρόσωπον δὲ οὐκ ἐπῆρεν ἰδεῖν αὐτους εἶπεν δὲ πρὸς αὐτοὺς ὁ ἀθλητὴς τοῦ Χριστοῦ Κλαῦσαι δεῖ με παρὰ πάντα ἄνθρωπον τὸν ἐν τῷ κόσμῳ, ὅτι μὴ εἰδὼς θεὸν οὐκ ἐνεκλήθην ποτέ, νῦν δὲ ἐπιγνοὺς τὸν θεὸν τυραννοῦμαι, καὶ διὰ τοῦτο κλαίω, | ὅτι τὸ καλὸν ὄνομα ἐπιγνοὺς ἀδικοῦμαι οἱ δὲ ἀκού- 254r
σαντες ᾐσχύνοντο ἔτι λαλεῖν πρὸς αὐτόν ὁ γὰρ θεὸς ἐδόξασε τὸν παῖδα αὐτοῦ εἶπον δὲ πρὸς τὸν μακαριον οἱ στρατιῶται Ἡμεῖς πρὸς σὲ ἀπεστάλημεν ἀπάξαι σε δέσμιον πρὸς τὸν ἡμέτερον βασιλέα, ἵνα μάθῃς θεοὺς ὁμολογεῖν καὶ μὴ θεὸν ἕτερον ὃν οὐκ οἴδαμεν εἶπεν δὲ πρὸς αὐτους ὁ ἀθλητὴς τοῦ Χριστοῦ Ἐὰν μὲν αὐτοθελῆ ἐάσητέ με, ἔλθω μεθ' ὑμῶν ἐπεὶ δέσμιον οὐκ ἀπάξετέ με ὁ γὰρ θεός μου παρὼν ἐν σαρκὶ τὰ δεσμὰ τῶν ἁμαρτιῶν ἔλυσε καὶ ἐρρύσατο ἡμᾶς ἐκ τοῦ πατρὸς ἡμῶν [sic] τοῦ Σατανᾶ. λέγουσιν αὐτῷ οἱ στροτιῶται Εἰ μὴ θέλεις [θέλῃς cod sed η in rasura corr.] ἐλθεῖν μεθ' ἡμῶν, ἡμεῖς ἀπελθόντες λέγομεν τῷ βασιλεῖ ὅτι οὐχ εὕρομεν αὐτόν, καὶ σὺ ὑποχωρήσας ποίει ὡς βούλει ὁ δὲ μακάριος Ῥέπρεβος εἶπεν Οὐχι ἀλλὰ κατέλθω μεθ' ὑμῶν καὶ ὑποδείξω ὑμῖν τοῦ θεοῦ μου τὴν δυναμιν μόνον ἐκδέξασθαί

ἐκδέξασθέ με μικρόν. εἶπον δὲ πρὸς αὐτὸν οἱ στρατιῶται· Αἱ δαπάναι ἡμῶν ἀνηλώθησαν, καὶ οὐ δυνάμεθά σε περιμένειν. εἶπεν δὲ πρὸς αὐτούς· Εἰσακούσατέ μου τῆς φωνῆς, καὶ φάγεσθε ἀγαθὰ καὶ ὄψεσθε τὴν δύναμιν τοῦ κυρίου μου· θέτε τὰ καταλειφθέντα ὑμῖν. οἱ δὲ ὑπήκουσαν προθύμως καὶ ἔρριψαν τὰ παρ' αὐτοῖς ὀλίγα βρώματα. αὐτὸς δὲ κλίνας τὰ γόνατα προσηύξατο λέγων· Κύριε Ἰησοῦ Χριστὲ ὁ τοὺς πέντε ἄρτους εὐλογήσας καὶ πλήθη ἱκανὰ χορτάσας, καὶ νῦν ὁ αὐτὸς εἶ, κύριε Ἰησοῦ Χριστέ· ἐπάκουσόν μου ἐν τῇ ὥρᾳ ταύτῃ, ἵνα οὗτοι πάντες βλέποντες τὰ θαυμάσιά σου δοξάσωσίν σε τὸν ἀληθινὸν
20v θεόν. | καὶ εὐθέως ἐγένετο εὐλογία θεοῦ, καὶ ἐπληθύνθησαν οἱ ἄρτοι αὐτῶν, καὶ ἐπληρώθησαν πάντες, ὅσον χρείαν εἶχεν ἕκαστος αὐτῶν· ἰδόντες δὲ τὰ θαυμάσια τοῦ θεοῦ ἐπίστευσαν εἰς τὸν θεὸν καὶ ἐπηκολούθησαν τῷ ἁγίῳ

2 δαπάναι] exspectes ἀννῶναι cf. infra p. 70, 4

με μικρόν εἶπαν δὲ πρὸς αὐτὸν οἱ στρατιῶται Αἱ δαπάναι ἡμῶν ἐδαπανήθησαν ἀπὸ τοῦ χρόνου οὗ ἐζητοῦμέν σε, καὶ οὐ δυνάμεθά σε περιμένειν τότε ὁ μακάριος πλησθεὶς πνεύματος ἁγίου εἶπεν πρὸς αὐτους Ἀδελφοί μου, εἰσακουσατέ μου, καὶ φαγεσθε ἀγαθὰ καὶ ὄψεσθε τὴν δυναμιν τοῦ Χριστοῦ ὁμοῦ δὲ προθυμως λέγουσιν αυτω Ὃ θέλεις λέγε ὁ δὲ λέγει αὐτοῖς Θέτε τὰ καταλειφθέντα ὑμῖν, ἅ ἐστι βραχέα [βραχεῖα cod], καὶ ἐγὼ προσεύξομαι ὑπὲρ ὑμῶν, καὶ ὄψεσθε τοῦ θεοῦ μου τὴν δυναμιν οἱ δὲ ἐποίησαν ὡς διετάχθησαν, καὶ ἔθηκαν αὐτὰ πρὸ προσώπου αὐ-
254v τοῦ ὁ δὲ μακάριος Ῥέπρεβος προσηυξατο λέγων· | Ὁ τους πέντε ἄρτους εὐλογήσας καὶ πλήθη ἱκανὰ χορτάσας, καὶ νῦν αὐτὸς εἶ, κύριε Ἰησοῦ Χριστὲ ὁ καὶ τότε ἐπάκουσόν μου τοῦ δουλου σου, καὶ τὸ αἴτημά μου πλήρωσον, ὅπως πιστεύσωσιν οὗτοι ἰδόντες τὰ θαυμάσιά σου, ὅτι δοῦλός σου εἰμί. ταῦτα δὲ αὐτοῦ προσευξαμένου ἰδοὺ Ῥαφαὴλ ὁ ἀρχάγγελος κυρίου παρέστη αὐτῷ λέγων Θάρσει Ῥέπρεβε ἐγὼ γὰρ ἀπεστάλην εἰς βοήθειάν σου, ὅπως πάντα τὰ αἰτήματά σου πληρώσω καὶ παραχρῆμα εὐλόγησε τους ἄρτους καὶ ἐπληθυνθησαν ὁ δὲ μακάριος Ῥέπρεβος εἶπεν Λαβετε, φάγετε ἐμπλήσατε τὰς ψυχὰς ὑμῶν καὶ ὄψεσθε τοῦ θεοῦ μου τὴν δύναμιν ὁ γὰρ κύριός μου οὐ μόνον τὰ ἐπὶ γῆς δωρεῖται, ἀλλὰ καὶ ἐν τοῖς ουρανοῖς τοῖς πιστεύουσιν αὐτῷ πάντα παρέχει
οἱ δὲ στρατιῶται ἰδόντες τὰ θαυμάσια τοῦ θεοῦ εἶπον ὡς ἐξ ἑνὸς στόματος· Δόξα σοι ὁ θεός καὶ ἡμεῖς σοι πιστευομεν τῷ δυναμένῳ σῶσαι τους ἐλπίζοντας ἐπὶ σέ τότε ὁ μακάριος περιχαρὴς γενόμενος εἶπεν· Ἀδελφοί μου, εἰ ἐν ἀληθείᾳ τοῦτο φρονειτε, εἴπατέ μαι. οἱ δὲ ἀποκριθέντες εἶπον Δουλε τοῦ θεοῦ, ἐν σκότει ἡμων ὄντων λύχνος ἡμῖν ἐφάνης μετὰ σοῦ ἐσμέν ὡς

μάρτυρι λαβὼν δὲ αὐτούς ὁ ἀθλητὴς τοῦ Χριστοῦ ἦλθεν ἐν πόλει Ἀντιοχείᾳ τῆς Συρίας, καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ μετ' αὐτοῦ πάντες ὑπὸ τοῦ ἁγίου Βαβύλα. καὶ οὕτως ἀπῄεσαν εἰς τὴν Πέργην. ἐγγισάντων δὲ αὐτῶν ἐν τῇ πόλει λέγει αὐτοῖς ὁ ἅγιος Ῥέπρεβος· Ἀδελφοί, δήσατέ με καὶ οὕτως προσαγάγετέ με τῷ βασιλεῖ ὑμῶν, ἵνα μή τις ἰδὼν κατηγορήσῃ ὑμῶν καὶ μέλλητε τιμωρεῖσθαι δι' ἐμέ· ἀλλ' ἀπέλθετε καί σκέψασθε περὶ τῆς ὑμετέρας σωτηρίας καὶ τῆς μελλούσης αἰωνίου ζωῆς καὶ ταῦτα παρακαλεσας προσῆλθεν ἐνώπιον τοῦ βασιλέως ἰδὼν δὲ τὸ πρόσωπον αὐτοῦ ὁ βασιλεὺς ἐταράχθη καί ἤγγισε τοῦ καταπεσεῖν ἀπὸ τοῦ θρόνου αὐτοῦ. εἶπεν δὲ πρός αὐτὸν ὁ ἀθλητὴς τοῦ Χριστοῦ· Ὦ ἀτυχέστατον βασίλειον καὶ κατεφθαρ-

3 βαβύλα cum hoc accentu codex, ut edi solet in Iohanne Chrysostomo norat scriptor Babylam episcopum Antiochiae Syr sub Decio (a. 250 cf Euseb. h eccl vi 39, 4 et in chronicis, die xxiv ian. secundum martyrologium Syriacum et Romanum) passum esse, non nouit hunc imperatorem numquam Asiam attigisse neque Syriam quamquam talia historia fabularis postea tradidit, explosa a Norisio De epochis Syromac diss iii cap 10 p 349 sqq ed Lips. ceterum iam is qui a 388 librum de Babyla Iohanni Chrys falso adtributum scripsit, fabulosa narrat nomenque imperatoris ignorat i, ii p. 542d sqq Montef. § 7 μελ•λετε (λ erasum)

θέλεις, ποιοῦμεν ὁ δὲ μακάριος παραλαβὼν αὐτοὺς ἤγαγεν ἐν Ἀντιοχείᾳ τῇ πόλει πρὸς τὸν ἐπίσκοπον Βαβύλαν. καὶ ἐφωτίσθη αὐτὸς καὶ οἱ διακόσιοι στρατιῶται μετ' αὐτοῦ καὶ ἐπεκλήθη τὸ ὄνομα αὐτοῦ Χριστοφόρος. πάντων δὲ ὁμοῦ εἰσερχομένων ἐπὶ τὸ παλάτιον ἤρξατο λέγειν ὁ ἅγιος Τέκνα μου, οἴδατε τίνα θεὸν ἐκτησάμεθα, μᾶλλον δὲ | ἐκεῖνος ἐκτήσατο ἡμᾶς, βλέπετε μή ποτε 255r ἐπιγείους πληγὰς φοβηθῶμεν καὶ ἀρνησώμεθα τὸν θεὸν ἡμῶν, ἵνα μὴ κἀκεῖνος ἀρνήσηται ἡμᾶς καὶ ὅταν προσαγάγητέ με, πάντα ὅσα προσέταξεν ὑμῖν ὁ βασιλεύς, ποιησατέ μοι καὶ ἐγὼ προσεύξομαι περὶ ὑμῶν καὶ ὅταν καλέσω ἐξ ὑμῶν δύο πρὸς τὸν κύριον, τότε καὶ ὑμεῖς ἔλθετε καὶ ἐγὼ πρεσβεύσω ὑπὲρ ὑμῶν Καὶ ἐγένετο, ὅτε ἤγγισαν τῷ παλατίῳ, λέγει αὐτοῖς· Ἀδελφοί μου, δήσατέ με, ἵνα μή τις ἰδών με λυτὸν κατηγορήσῃ ὑμῶν καὶ μέλλητε ἐγκαλεῖσθαι δι' ἐμέ καὶ ὑμεῖς ἀπελθόντες σκέψασθε τὰ περὶ τῆς σωτηρίας ὑμῶν οἱ δὲ μετὰ πολλῶν δακρύων προσήνεγκαν αὐτῷ τὴν ἡρμοσμένην ἅλυσιν, καὶ οὕτω προσήγαγον αὐτὸν τῷ βασιλεῖ ὡς δὲ εἶδεν ὁ βασιλεὺς τὸ πρόσωπον αὐτοῦ οὕτω φοβερόν, ὀπίσθεν ἑαυτὸν ἔδωκεν ἀνατραπείς, καὶ ταραχθεὶς ἤγγισεν ἀπὸ τοῦ θρόνου αὐτοῦ πεσεῖν. καὶ κατεσχέθη ὑπὸ τῶν δορυφόρων αὐτοῦ ὁ δὲ μακάριος εἶπεν Ὦ ἀτυχέστατον βασίλειον καὶ κατεφθαρμένον ἐμὲ

μένον, εἰ ἐμὲ τόν δοῦλον τοῦ θεοῦ οὕτως ἐφοβήθης τῷ θεῷ πῶς ἀπολογήσῃ, ὅτι ἀπώλεσας ψυχὰς τῶν ἀνθρώπων; Δέκιος εἶπεν Πόθεν ὁρμᾶσαι καί ποίου γένους ὑπάρχεις, καὶ τί τὸ ὄνομά σου; Ῥεπρεβος εἶπεν Θέλεις μαθεῖν ποίας θρησκείας εἰμί; Χριστιανός εἰμι. τό δὲ ἐπιτεθέν μοι ὄνομα Ῥέπρεβος ἐκλήθην μετά δὲ τὸ λαβεῖν με τὸ ἅγιον βάπτισμα Χριστοφόρος ἐκλήθην τό δὲ γένος ἐάν ἐρωτᾷς ἢ τὸ ἔθνος ἢ τήν χώραν μου, εἰς τὸ πρόσωπόν μου βλέπε καί μανθάνεις τὸ ἔθνος μου. Δέκιος εἶπεν Ἄκουσόν μου, Ῥέπρεβε, καί θῦσον τοῖς θεοῖς και γράφω τοῖς πᾶσιν, ινα ἱερέα σε καταστησω ὁ δὲ ἀθλητής τοῦ κυριου εἶπεν προς αὐτόν Το ἀργυριόν σου καὶ τὸ χρυσιον σου συν σοι εἴη εις ἀπώλειαν· θεοί γάρ οἳ οὐκ ἐποιησαν τόν οὐρανὸν καὶ τὴν γῆν, ἀπολέσθωσαν ὑποκάτω παντός τοῦ ουρανοῦ οὐ γάρ εἰσι θεοί. ἐκέλευσεν δὲ αὐτὸν ὁ βασιλευς κρεμασθῆναι ἀπό τῶν τριχῶν καί λέγει αὐτῷ Θῦσον τοῖς θεοῖς, ἵνα ζησῃς ὁ ἅγιος ἀπεκριθη· Μή σοι καλῶς, ἀσεβέστατε, ἵνα ἐγω λίθοις θύσω καί δαίμοσιν ὁμοίοις σοῦ ἐκέλευσε δὲ αὐτόν σπαθίζεσθαι λέγων Μὴ μωρολόγει αἰσχρῶς, ἀλλά θῦσον τοῖς θεοῖς Ῥέπρεβος εἶπεν Ἡ τοῦ κόσμου τούτου βάσανος πράσκαιρός ἐστιν· διό μένει σοὶ τῷ ἀνόμῳ πῦρ αἰώνιον
21r τότε χολέσας ὁ βασιλεύς ἐκέλευσε τρεῖς λαμπάδας προσάψαι τῷ σώματι αὐτοῦ ἡ δὲ σύγκλητος και πᾶσαι αἱ ἐξουσίαι λέγουσι τῷ βασιλεῖ· Μηδαμῶς, κύριε, μὴ ἐν τοιαύταις βασάνοις ἀνάλισκε τὸν ἄνθρωπον, ὅτι τερπνός ἡμῖν ἐστιν· ἀλλά μετά ἠπιότητος χρῆσαι αὐτῷ ὁ δὲ

24 προ•|σάψαι

τόν δοῦλον τοῦ θεοῦ οὕτως ἐφοβήθης τῷ θεῷ πῶς ἀπολογήσῃ, ὅτι ἀπώλεσας πολλούς, Δέκιος εἶπεν Λέγε ποίας θρησκείας εἶ, ποίας τυχης ἢ ποίου γένους ἢ τί τὸ ὄνομά σου, ὁ δὲ μακάριος Χριστοφόρος εἶπεν Χριστιανός εἰμι τὴν θρησκειαν τὸ δὲ ἐπιτεθέν μοι ὄνομα παρά τῶν γονέων Ῥέπρεβος ἐκλήθην, μετά δὲ τὸ ἅγιον βάπτισμα Χριστοφόρος κέκλημαι τὸ δὲ γένος μου τό πρόσωπόν μου κατηγορεῖ αὐτός οὖν εἰμι διά Χριστὸν ἀγωνιζόμενος καί μή πειθόμενος ὑμῖν τοῖς [κ]ακοδιδασκάλοις.

λέγει· Κατενέγκατε αὐτὸν ἀπὸ τῶν δεσμῶν καὶ λέγει αὐτῷ ὁ βασιλεύς· Δεῦρο καλὲ ἄνθρωπε, ὁμολόγησον τούς θεούς· τερπνος γάρ μοι ἐφάνης καί θελω σε στράτορα εἶναι τοῦ ἅρματός μου ὁ δὲ ἀθλητὴς τοῦ Χριστοῦ εἶπεν πρός αὐτόν· Εἰ τοῦτο θέλεις γενέσθαι, γενοῦ Χριστιανὸς ὡς ἐγώ, καί ἔσῃ ἐν οὐρανοῖς βασιλεύων καὶ ἐγώ ἔσομαι στράτωρ τοῦ ἅρματός σου· λέγει οὖν αὐτῷ ὁ βασιλεύς· Ἐγώ σε προετρεψάμην θύειν τοῖς θεοῖς, καὶ σύ με καταναγκάζεις καταλιπεῖν τούς θεούς. ἡ τάξις εἶπεν· Δεόμεθα τῆς θειότητός σου, θεωροῦμεν τόν ἄνθρωπον ὅτι ἀλλόφυλός ἐστι· κέλευσον οὖν αὐτῷ ἐνεχθῆναι δύο γυναῖκας εὐμόρφους, ὅπως τῇ τούτων φιλίᾳ ἀγόμενος θύσῃ τοῖς θεοῖς καὶ ἤρεσε τοῦτο τὸ ῥῆμα τῷ βασιλεῖ. ἐποίησε δὲ ζητηθῆναι αὐτῷ δύο γυναῖκας εὐμόρφους, καὶ ἱμάτια πολύτιμα ἐνέδυσεν αὐτάς καὶ μύροις ἔχρισεν, καί οὕτως συναπέκλεισεν αὐτάς ἐν οἰκίσκῳ μικρῷ σύν τῷ μάρτυρι. ὁ δὲ μακάριος Ῥέπρεβος πεσών ἐπὶ πρόσωπον ἐδέετο τοῦ θεοῦ ἐπὶ ὥρας πολλάς καί ἀναπεμψας τήν δεησιν και εἰπών τό ἀμήν ἀνέστη ἀπὸ τοῦ τόπου οὗ ἦν προσευχόμενος, καί ἦν προσέχων αὐταῖς αἳ δὲ ἰδοῦσαι τὸ πρόσωπον αὐτοῦ ἐταράχθησαν ἀπὸ φόβου καί ἐκρύβοντο μία πρὸς τὴν μίαν πρὸς τὸν τοῖχον λέγουσαι· Οὐαί ἡμῖν ταῖς πολύ ἁμαρτωλοῖς, σκληρόν ἡμῖν πρᾶγμα κατέφθασε τοῦτο· ἐὰν γὰρ ἐπιμείνῃ προσέχων ἡμῖν, ἀποθανούμεθα εἶπεν δὲ αὐταῖς ὁ ἀθλητής τοῦ Χριστοῦ· Τί ἐνταῦθα ἥκατε; αἳ δέ οὐκ ἐτόλμων ἀνανεῦσαι καὶ προσέχειν αὐτῷ. εἶπεν δὲ πρὸς αὐτάς· Πείσθητέ μοι καί ὁμολογήσατε θεόν εἰς ὃν ἐγὼ πεπίστευκα αἳ δὲ πρὸς ἑαυτάς εἶπον· Σκληρὸν ἡμῖν πρᾶγμα κατέφθασε τοῦτο· ἐάν γὰρ εἴπωμεν ὅτι Οὔ, ἀποκτενεῖ

3 στράτορα cf I Godofredus ad Cod Theod ıı 31 t ıı p 223 sq ed. Ritt. et H Valesius ad Ammianum Marc xxx 5, 19 debuit στράτωρα scribi, sed haec latina Graeculi ad similitudinem uerbalium in τωρ declinarunt || 23 πολυαμαρτωλοῖσ σκληρον || 28 ομολογησατε spiritus erasus

ἡμᾶς οὗτος· ἐάν δὲ τούτῳ πεισθῶμεν, ἀποκτενεῖ ἡμᾶς ὁ βασιλεύς. μία δὲ ἐξ αὐτῶν ὀνόματι Ἀκυλίνα εἶπεν· Μᾶλλον τούτῳ πεισθῶμεν, καὶ ζήσωμεν εἰς τόν αἰώνιον χρόνον. καὶ ταῦτα εἰποῦσα λέγουσιν αὐτῷ· Δεόμεθά σου, πρόσευξαι μόνον ὑπὲρ ἡμῶν, ἵνα ἐπιλάθηται ὁ θεὸς τὰς 21v ἁμαρτίας | ἡμῶν, ὅτι πολλαί εἰσιν σφόδρα. λέγει πρὸς αὐτάς· Ἐν φόνῳ ἢ ἐν μαγείαις ὑπόκεισθε, λέγουσιν αὐτῷ· Οὐχί κύριε, ἀλλ' εἰς ὃ ἐστρατεύθημεν, τοῦτο καὶ ἐπράττομεν. φονευομένους δὲ μᾶλλον ἐλυτρωσάμεθα, ἐλευθέρους πιπρασκομένους ἐξηγοράσαμεν ἐκ τοῦ αὐτοῦ χρυσίου. εἶπεν δὲ αὐταῖς· Ὑμεῖς μόνον ἐξ ὅλης ψυχῆς πιστεύσατε τῷ κυρίῳ, καὶ δέομαι ὑπὲρ ὑμῶν, ὅπως μὴ ἅψηται ὑμῶν βάσανος τοῦ φθαρτοῦ βασιλέως.

αὐτῶν δὲ αὐτά σκεπτομένων εἰσῆλθεν ὁ δεσμοφύλαξ καὶ λέγει αὐταῖς· Ἀνάστητε, καλεῖ ὑμᾶς ὁ βασιλεύς. καὶ ἐξελθοῦσαι ἦλθον πρὸς τὸν βασιλέα. καὶ λέγει αὐταῖς· Ἐπείσατε τὸν ἄνδρα ἐλθεῖν πρὸς ὑμᾶς; αἱ δὲ εἶπον· Ἐπείσθημεν καὶ ἡμεῖς. καὶ οὐκ ἔστιν ἐν ἄλλῳ ἡ σωτηρία ἡμῶν, εἰ μὴ ὡς λέγει ὁ τοῦ θεοῦ παῖς. τότε λέγει αὐταῖς ὁ βασιλεύς· Ἐμαγεύθητε καὶ ὑμεῖς καὶ ἀπέστητε τῶν θεῶν. Ἀκυλίνα εἶπεν· Εἷς θεός ἐν οὐρανοῖς μόνος· οἱ γὰρ θεοὶ σοῦ τέφρα εἰσὶν καὶ οὐδὲν δύνανται ποιῆσαι, εἰ μή τι εἰς χάος ἀπολέσαι τὰς ψυχὰς τῶν ἀνθρώπων τῶν πιστευόντων αὐτοῖς. τότε θυμωθεὶς ὁ βασιλεὺς ἐκέλευσεν αὐτὴν ἀπὸ τριχῶν κρεμασθῆναι, καὶ ἐποίησε δύο λίθους περιτεθῆναι αὐτῇ ἕνα ἀφ' ἑνός. καὶ ἐκ τοῦ βάρους τῶν λίθων τά σπλάγχνα αὐτῆς ἐτέμνοντο, ἐνέβλεψέν τε ἐπὶ τὸν μακάριον Ῥέπρεβον καὶ λέγει αὐτῷ· Δέομαί σου, πρόσευξαι περί ἐμοῦ, ὅτι κάμνω πολύ. ὁ δὲ ἀναβλέψας

3 αἰῶνα *A* αἰώνιον *BP* ἀκηκόαμεν γάρ ποτε διακόνου τινὸς φιλολογοῦντος, ὅτι ὁ Χριστὸς οὐ μόνον τὰ ἐπὶ γῆς δωρεῖται ἀλλὰ καὶ τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τοῖς πιστεύουσιν αὐτῷ ζωὴν αἰώνιον δίδωσι sic uterque ‖ 4 λέγουσιν 5 ἡμῶν nonnullae litterae instauratae ‖ 7 ὑποκεῖσθε ‖ 17 ἡμᾶς ‖ 18 καὶ] fort ὡς ‖ 21 ἀκυλίνα sed cf supra u. 2 ‖ 25 αὐτ[ὴν] cum rasura ‖ 27 τε] fort δὲ

εἰς τὸν οὐρανὸν εἶπεν· Σοὶ τῷ πατρὶ τοῦ Χριστοῦ προσκυνῶ, ἵλεως γενοῦ τῇ δούλῃ σου Ἀκυλίνῃ. καὶ ταῦτα αὐτοῦ προσευχομένου ἡ δούλη τοῦ θεοῦ ἐκοιμήθη ἐν εἰρήνῃ. ἐκέλευσε δὲ ὁ βασιλεὺς φυλάττεσθαι αὐτῆς τὸ σῶμα, ἵνα κατακαύσῃ αὐτό.

καὶ κελεύει προσαχθῆναι αὐτῷ Καλλινίκην, καὶ λέγει αὐτῇ· Ἐλέησον σεαυτήν, ἵνα μή, ὡς ἡ ἄλλη κακὸν τέλος τοῦ βίου ἔδωκεν, οὕτως καὶ σύ. φεῖσαι οὖν σεαυτῆς, καὶ προσελθοῦσα θῦσον τοῖς θεοῖς, ἵνα μὴ ποιήσῃς με ἐπενεγκεῖν τας χεῖράς μου ἐπὶ σέ. εὐλαβοῦμαι γὰρ ἀφανίσαι σου τὸ κάλλος, μὴ λιθασθῶ ὑπὸ τῆς πόλεως. τοῦτο οὖν ποιησον καὶ θῦσον τοῖς θεοῖς, καὶ εἰκόνα σοι χρυσῆν ποιήσω κατα πόλιν στῆναι. ἡ δὲ εἶπεν· Ποιοις με θεοῖς κελεύεις θύειν; ὁ δὲ λέγει· Θῦσον τῷ Διὶ καὶ τῷ Ἀπόλλωνι καὶ τῷ Ἡρακλεῖ. ἡ δὲ εἶπεν· Προτραπεῖσα ὑπὸ τοῖς θεοῖς σεμνῶς ὀφειλω θῦσαι τοῖς θεοῖς. περιχαρὴς δὲ γενάμενος ὁ βασιλεὺς ἐκέλευσεν | αὐτὴν ἀπιέναι ἐπὶ 22ʳ τὸν ναόν. ἀπελθούσης δὲ τῆς ἁγίας ἔστησαν κήρυκες προσφωνοῦντες καὶ λέγοντες· Καλλινίκη ἡ φίλη τῶν θεῶν θύει. ἐχάρησαν οὖν οἱ ἱερεῖς νομίζοντες ὅτι ὄντως τοῖς εἰδώλοις προσκυνεῖ. ἀτενίσασα δὲ τοῖς ἱερεῦσι καὶ πᾶσι τοῖς ἑστῶσιν εἶπεν· Ἐμβλέψατε εἰς ἐμὲ καὶ ἀτενίσατε εἰς τὴν θυσιαν, ὅτι θύω τῷ μεγάλῳ θεῷ μου. καὶ ἀπελθοῦσα εἰς τὸ βῆμα τῶν εἰδώλων ἔστη πρὸς τὴν εἰκόνα τοῦ Διός, καὶ ἀτενίσασα εἰς αὐτὸν εἶπεν· Εἰ θεὸς εἶ σύ, λάλησον, ὅτι δούλη σοι προσηνέχθην, καὶ τί θέλεις ποιήσω σοι. καὶ οὐκ ἦν φωνὴ οὐδὲ ἀκρόασις ἐν αὐτοῖς. ἡ δὲ εἶπεν· Οὐαί μοι τῇ ἁμαρτωλῷ, οἱ θεοὶ ἐν ὀργῇ μοι εἰσί, διότι ἠθέτησα αὐτούς, καὶ οὐκ ἀκούουσί μου. ἆρα μὴ ὕπνῳ κατέχονται; καὶ προσελθοῦσα πάλιν ἔκραξε λέγουσα· Οἱ θεοὶ τῶν Ἑλλήνων εἰσακούσατέ μου. εἰ δὲ

14 Attalensibus uicinis Ἀπόλλων ἀρχηγέτης colebatur cf. *bull de corresp. hellén.* 1883 t. VII p. 263 n. 7 et p. 265 || 18 προσφωνοῦντεσ cf. p. 72, 6: τρανῶς φωνοῦντες legebant *BP* p. 135, 8 || 26 προσηνέχθη

οὐκ ἐστὲ θεοί, τί ἐν πλάνῃ ἑστῶτες φαντάζετε πολλοὺς, καὶ περὶ Δία κινήσασα τὴν τράπεζαν αὐτῶν, ἀναβλέψασα εἰς τον οὐρανὸν εἶπεν ʽΟ πάσης ἀγαθότητος δωτὴρ καὶ τῶν ψυχῶν ἡμῶν σωτήρ, βοήθησόν μοι ἐν ταύτῃ τῇ ὥρᾳ καὶ ἀποδυσαμενη τὸ σουδάριον αὐτῆς καὶ τὴν ζώνην ἐν πολλοῖς εἱλήσασα περιέθηκε τῷ ἀγάλματι τοῦ Διός, καὶ ἑλκύσασα κατέστρεψεν αὐτὸν καὶ ἐγένετο ὡς ἡ ἄμμος. ὁμοίως δὲ καὶ τὸν Ἀπόλλωνα καθεῖλεν καὶ εἶπεν· Ἀνάστητε οἱ θεοὶ καὶ βοηθήσατε ἑαυτοῖς καὶ τοῖς πεποιθόσιν ἐφ' ὑμᾶς ἐπιλαβόμενοι δὲ οἱ ἱερεῖς ἐκράτησαν αὐτὴν καὶ προσήγαγον τῷ βασιλεῖ λέγοντες Ταύτην τὴν μαινομένην ἡμῖν ἐπήγαγες, καὶ τοὺς θεοὺς καθελοῦσα ἐλέπτυνεν καὶ εἰ μὴ αὐτὴν ἐκρατήσαμεν, οὐκ ἂν εἴασεν ἕνα τῶν θεῶν. Δέκιος εἶπεν Οὐχὶ συνέθου θύειν τοῖς θεοῖς, πῶς οὖν σὺ τοῦτο τετόλμηκας καὶ ἀντὶ τοῦ θῦσαι αὐτοῖς καὶ μύρα προσενεγκεῖν καθελοῦσα ἐλέπτυνας, ἡ δὲ εἶπεν Ἐγὼ λίθους ἐκίνησα προς οἰκοδομὴν τοιοῦτοι γὰρ εἰσιν οἱ θεοὶ ὑμῶν, ὅτι ὑπὸ γυναικὸς ἐκινήθησαν ἐγὼ δὲ θεον ὁμολογῶ καὶ προσκυνῶ, ὅς τις ὑπ' οὐδενὸς νικᾶται τότε χολέσας ὁ βασιλεὺς ἐκέλευσεν γενέσθαι σοῦβλαν καὶ ἐμβληθῆναι ὑπὸ τὴν πτέρναν ἕως τοῦ ὤμου αὐτῆς, καὶ ἐμβληθῆναι ἔνθα καὶ ἔνθα αὐτὴν διὰ κρικίων, καὶ κρεμασθῆναι πλαγιαν καὶ λίθον ἐποίησεν
22v ἐνεχθῆναι ὑπὸ τὸν μηρὸν αυτῆς, ὁμοίως καὶ | ἐπὶ τὸν βραχίονα ὅπως διασπασθῇ ἐπιβλέψασα δὲ ἐπὶ τὸν ἅγιον Ῥέπρεβον εἶπεν Δεομαί σου, δοῦλε τοῦ θεοῦ τοῦ ὑψίστου, πρόσευξαι περὶ ἐμοῦ, ὅτι κάμνω ἀναβλέψας δὲ ὁ μακάριος εἰς τὸν οὐρανὸν προσηύξατο λέγων· ʽΟ θεὸς τῶν ἁγίων πάντων, πρόσδεξαι τὴν δούλην σου καὶ λόγισαι τὸν κάματον αὐτῆς, ὅτι σὺ μόνος οἰκτίρμων καὶ φιλάνθρωπος ὑπάρχεις προσευξαμένου δὲ αὐτοῦ ἐτελειώθη ἐν εἰρήνῃ

1 πολλους] immo τοὺς πολλούς ‖ 2 περιδιακινήσασα ‖ 7 ἑλκυσασα ‖ 8 ἄμμος spiritum seruandum duxi ‖ 16 μῦρα ‖ 31 μηνὶ ἀπριλλίῳ δευτέρᾳ passam dicit *P* 138, 11, *IX kal. aug. Nicetam et Aquilinam* ferunt occidentales

ἡ ἁγία Καλλινίκη. ἐκέλευσεν ὁ βασιλεύς καὶ αὐτῆς φυλάττεσθαι τὸ ἅγιον σῶμα σύν τῇ ἀδελφῇ αὐτῆς Ἀκυλίνῃ, ἕως ἂν προσέλθῃ καὶ ὁ ἀθλητὴς τοῦ θεοῦ Χριστοφόρος

καὶ κελευει προσαχθῆναι τὸν μακάριον Ῥέπρεβον, καὶ λέγει αὐτῷ Κακώνυμε καί κακόβιε καὶ κακοπρόσωπε, προέκειτο σὲ μᾶλλον ἀναλωθῆναι, καὶ μὴ τὴν περικρότησιν τῆς πολεως ἐκ μαγείας ἀπέστησας καὶ ἀπέκτεινας. τί οὖν λέγεις λοιπόν; κἂν νῦν θύῃς τοῖς θεοις ἢ ἐμμένεις τῇ μανίᾳ ταυτῃ; γελάσας δέ ὁ μακάριος Ῥέπρεβος εἶπεν Δικαιως ἐκλήθης Δέκιος. δοκὸς γάρ εἶ τοῦ διαβόλου, συνδεσμος εἶ τοῦ πατρὸς σου τοῦ Σατανᾶ καὶ ἀληθῶς τῇ ἐκείνου ἐνεργείᾳ περιελαυνόμενος, καί οὔπω ἐπείσθης μοι ἀναίσθητος ὢν καὶ μωρός. εἶπον γαρ σοι πλειστάκις, εἰ δυναίμην καί σὲ κλῖναι εἰς τὸ ἀγαθὸν ἔργον· ἀλλ' οὐκ ἄξιος εἶ γνῶναι τὴν γνῶσιν ταύτην. πλὴν ἑτοίμως ἔχε· πολλοὺς γὰρ ἐργάτας ἔχω σοι παραστῆσαι διά τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρισταῦ. αὐτοῦ δὲ ταῦτα ἀπολογουμένου ἰδού οἱ διακόσιοι στρατιῶται ὡς ἐξ ἀποδημίας παρεγένοντο. καί ῥίψαντες τά ἱμάτια αὐτῶν καὶ τὸ ἅρμα, προσπεσόντες τῷ ἁγίῳ Ῥεπρεβῳ πάντες ἠσπάσαντο αὐτὸν λέγοντες· Φῶς ἡμῶν γέγονας ἐκ πάλαι. οὐ φοβούμεθα κακά, ὅτι ὁ θεὸς διὰ σοῦ μεθ' ἡμῶν ἐστιν.

ἰδὼν δὲ ὁ βασιλεύς αὐτούς προσκυνοῦντας ἔκραξε λέγων· Ἀντάρτης μου γέγονας. τότε οἱ στρατιῶται εἶπαν· Οὐδείς σοι ἀνταίρει. ἡμεῖς Χριστιανοί ἐσμεν. ἀφ' οὐ γάρ ἔπεμψας ἡμᾶς [ἐπι τ]ὸν ὅσιον τοῦ Χριστοῦ δοῦ-

6 σε sine accentu | περικρότησιν mulierem plausibus ciuium celebratam cf P ἔδει σὲ μόνον [l. μᾶλλον] ἀναλωθῆναι ἢ τὴν περικράτησιν [sic] τῆς πόλεως Καλλινίκην ‖ 7 ante ἐκ aegre relatuo ἦν careas ‖ 8 κἀν ‖ 13 εἰθυσδυναίμην ubi θυσ fort. relictum ex glossemate μὴ θυσαι (θεοῖς) cf P πάντως πλειστάκις σε εἶπον ὅτι ου μόνον ἐγω οὐ θυσω ἀλλ' οὐδὲ σε ει ἦν δυνατὸν κατέλειψα θῦσαι αὐτοῖς τοῦ λοιποῦ ‖ 15 •εἶ γνῶ[να]ι cum lituris ‖ 19 ἅρμα: latinum nomen *arma* ad singularem numerum redactum, cf Thomas mag p 34, 4 Ritsch Meursius gloss graecob p 51, supra p 33, 9 ‖ 21 γέγονασ totum in litura, dein εκπαλαί (sic) extra uersum scriptum fuisse conicio, φῶς ἡμῶν καλόν coni P χαῖρε καλὲ ἡμῶν φωστὴρ ‖ 25 ὑμεῖσ ‖ 26 ἐπὶ τ suppleui, in cod locus erasus

λον, ούράνιον ἄρτον λαμβάνομεν μέχρι τῆς σήμερον και ουκ ἀρνούμεθα τον θεόν ἡμῶν ἔχοντες τόν ὁδηγόν ἡμῶν καί καλον ποιμένα τόν κύριον ἡμῶν Χριστοφόρον λεγει αὐτοῖς ὁ βασιλευς Μή ἀννῶναι ὑμῶν ἔλειψαν ἢ τά βέστια, ἢ οἱ ἵπποι ὑμῶν ηστοχησαν, ἐάν τι ὑστερησα, πα-
23r ρακαλῶ, ἑπταπλάσια ἀποδίδωμι ὑμῖν. μόνον μὴ | ἐγκαταλίπητε με. εἶπαν δε προς αὐτον οι στρατιῶται Τήν επινοιάν σου σύν σοί ἔχε· καί ἐπι τῶν ἵππων ἡμῶν σύ καθεζου· καί τά βέστια ἡμῶν συντεθησονταί σοι ἐν τῷ ταρτάρῳ τῷ μέλλοντί σε ὑποδέχεσθαι. ταῦτα ἀκούσας ὁ βασιλεύς ἐκέλευσεν αὐτούς κατασφαγῆναι εἰς ἓν καὶ γενομένης καμίνου βληθῆναι τά σώματα αὐτῶν ἐν τῷ πυρί. ἐκέλευσεν δὲ προσαχθῆναι αὐτῷ τόν ἅγιον Χριστοφόρον. καὶ λέγει αὐτῷ Ἀπονενοημένε καί ἐχθρὲ τῆς τῶν θεῶν εὐμενείας, τίς ἡ τηλικαύτη σου τόλμα ἢ ἡ τοσαύτη σου παρρησία, ὅτι ἀστρατόπεδόν με ἐποίησας, εἶπεν δὲ πρὸς αὐτὸν ὁ ἀθλητής τοῦ Χριστοῦ· Ἐγώ αἴτιος τοῦ πράγματος τούτου οὐκ εἰμί, ἀλλ' ὁ Χριστός ἐστιν ὁ ἐκλεγόμενος τὸν χρυσὸν ἐκ τῆς κοπρου καί στρατεύων εἰς τὸ ἴδιον ταγμα, και σώζων τούς ἐπ' αὐτόν ἐλπίζοντας σοί γάρ πρόκειται κόλασις αἰώνιος, ἄνομε καὶ πάσης ἐπινοίας τοῦ διαβόλου μεστέ. ἀνδρίζου οὖν, ἵνα δυνηθῇς ἀπαντῆσαι τοῖς ἐρχομένοις ἐπὶ τόν κυριόν μου Ἰησοῦν Χριστόν ἐαν ἐπιμείνῃ ἡ ζωή μου, πολλούς προσάγει δι' ἐμοῦ ὁ θεος εἰς τὴν ἑαυτοῦ ἐπίγνωσιν. τότε χολέσας ὁ βασιλεύς ἐκέλευσε γενέσθαι χαλκοῦν συμψελιον καί καθηλωθῆναι αὐτὸν ἐκεῖ και ἐκέλευσεν ἐνεχθῆναι ὕλην ξυλων πολλήν, καί ἐποίησε κύκλῳ θημωνίαν γενέσθαι καὶ καλυφθῆναι αὐτόν ὑπὸ τῶν ξύλων ὥςπερ σκηνήν· καὶ προσέταξεν ἐνεχθῆναι ἔλαιον πολύ καὶ βληθῆναι ἐπάνω τῶν ξύλων, και ἐκέλευσεν

4 ἀννόναι ‖ 6 ἐγκαταλείπητέ ‖ 9 συντεθήσοντ[αί] et 10 μέλλοντ[ι] litterae indicatae possunt in litura esse ‖ 12 καὶ ἐτελειώθησαν μηνὸς ἀπριλλίου (μηνὶ ἀπριλλίῳ *P*) ἑβδόμῃ κτλ addunt *BP* ‖ 16 ἀστρατοπέδευτόν *BP* ‖ 26 συμψέλιον etiam *B*, συν ψέλιον *P* alias σουβσέλλιον, infra p 71, 7 σκαμνίον ‖ 28 θημωνίαν etiam *B* θημονίαν *P* ‖ 30 πολυν

αφθῆναι εἰς τρεῖς ἀρχας καὶ ἀνήφθη πυρά σφοδροτατη· τοῦ δὲ χαλκώματος στίλβοντος ὑπὲρ τὴν φλόγα τοῦ πυρος, πάντων τῶν Χριστιανῶν ἅμα καὶ τῶν Ἑλλήνων ἑστώτων, τῶν μὲν Χριστιανῶν τηρούντων καταξιωθῆναι ἐπιλαβέσθαι τῶν ἁγίων αὐτοῦ λειψάνων, τῶν δὲ Ἑλλήνων ἰδεῖν τον θανατον αὐτοῦ, ὁ μακάριος Χριστοφόρος ἀναστὰς ἐκάθητο ἐπὶ τοῦ σκαμνίου καὶ ἐξηγεῖτο τοῖς ἑστῶσι λέγων· Ἐθεώρουν ἐν τῇ ὥρᾳ ταύτῃ μέσον τῆς ἀγορᾶς τῆς πόλεως ἄνδρα ὑψηλὸν τῷ εἴδει καὶ ὡραῖον τῷ καλλει, οὗ τὸ πρόσωπον ἔλαμψεν ὡς ἥλιος, τά δὲ ἱμάτια αὐτοῦ ὡς χιών, καὶ ὁ στεφανος αὐτοῦ ὑπέρκαλος σφόδρα καὶ ἄλλον ἐθεώρουν μελανὸν ἐν μελανίᾳ πολλῇ, καὶ πολλοὶ στρατιῶται ὅμοιοι αὐτοῦ μελανιῶντες οὗ ἡ θρὶξ ὥσπερ ἁλύσεις πεπλεγμέναι, | καὶ πολλή πανοπλία μετ αὐτῶν συνέρρηξε 23v δὲ πόλεμον ὁ ἔνδοξος καὶ ⟨ὁ⟩ ἄτιμος, και κατεπράξατο οὗτος τὸν ἔνδοξον και τον στρατὸν αυτοῦ ἀπεκτεινεν· καὶ ἐνεκαυχήσατο ἐπι τοῦ θρόνου αὐτοῦ χρονον τινά μετά τοῦτο δὲ απεστράφη ὁ ἔνδοξος ἐν θυμῷ και ὀργῇ, και ἐδιχοτόμησε τὸν στρατόν αὐτοῦ καὶ τον βασιλέα αὐτῶν κρατήσας ἔδησεν αὐτόν ἁλύσεσι πεπυρωμέναις, καὶ ἐγένετο ὁ ἔνδοξος καταλύων τάς οἰκίας ἐκείνου τοῦ μέλανος καὶ τὴν κοίτην αὐτοῦ κατέσκαψεν

οἱ δὲ ἀκούσαντες ὄχλοι, ὅτι μετά τηλικαύτην τιμωρίαν ζῇ καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ οὐκ ἐφλογίσθη οὐδὲ ὀσμή πυρᾶς εὑρέθη ἐν αὐτῷ, ἔκραξαν λέγοντες Δοξα σοι ὁ θεός Ῥεπρέβου, δόξα σοι βασιλεῦ οὐράνιε, ὁ θεός τῶν Χριστιανῶν· καὶ ἡμεῖς σοὶ πιστεύομεν, ὅτι σύ εἶ ὁ θεὸς μόνος ὁ ποιῶν μεγάλα θαυμάσια ὁ θεός τῶν θεῶν βοήθησον ἐν τῇ ὥρᾳ ταύτῃ καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πῦρ ἐξέβαλον τὸν ἀθλητὴν τοῦ Χριστοῦ· καὶ πάντες

1 ἀφθῆναι || 6 ὁ μακαριοσ in litura || 8 μέσο ἀναμέσον BP || 11 ὑπέρκαλλοσ etiam BP | 13 ου ὧν BP | πεπλεγμέναι litteris ai evanidis || 15 ὁ ἐνδοξοσ καὶ αὐτὸσ καὶ cf. P συνέρρηξεν τοιγὰρ οὖν πόλεμον ὁ ἔνδοξος καὶ κατεπράξατο αὐτὸν ὁ ἄτιμος

ὑφ' ἓν ἔκραξαν λέγοντες· Αἰσχύνθητι Δέκιε· Χριστὸς γὰρ νικᾷ σε· πᾶσα γαρ σου ἡ ἐπίνοια κατηργηται.

ἀκούσας δὲ τὴν κραυγήν ταύτην ὁ βασιλεύς καί θροηθείς σφόδρα, και ἀναχωρησας τοῦ σεκρέτου ἦλθεν εἰς τὸ παλάτιον. πρωίας δὲ γενομένης ἐκέλευσεν θυσιαν γενέσθαι τοῖς θεοῖς ἑστώτων τῶν κηρύκων καί προσφωνούντων ἐπί τῶν ὑψηλῶν· Θυσία τοῖς θεοῖς. πάντες συνέλθετε· ὅς τις δέ μή συνέλθῃ, τῇ τοῦ ξίφους τιμωρίᾳ ὑποπεσεῖται. πάντων δὲ συντρεχόντων ἐπι τὴν ἀσεβῆ θρησκείαν ὁ μακάριος Ῥέπρεβος μετά πάντων τῶν Χριστιανῶν, ὅπου τὸ καμινεῖον, ἤρξατο ψάλλειν οὕτως· Λαμπρὸς ὁ στέφανος τῆς ἐπαγγελίας, λαμπρός ὁ παράδεισος σφόδρα· μικρὸν ὑπομείνωμεν, ἵνα στεφανωθῶμεν. καὶ οὕτως ὑπέψαλλον πάντες, ὡς ἀπὸ τῆς φωνῆς πολλούς τῶν Ἑλλήνων ἐλθεῖν προς αὐτούς. τινὲς δὲ τῶν φλυάρων ἐμήνυσαν τῷ βασιλεῖ λέγοντες· Ἡ θρησκεια ἡμῶν ἦρται· ἐάν μη σεαυτῷ βοηθήσης νυνί, κακῶς ἀποθανῇ. ἀκουσας δὲ ταῦτα και ἐπιπηδήσας ἐκάθισεν ἐπι τοῦ βήματος μετα πλήθους στρατιωτῶν· καὶ ἀναλαβόντες τό ἅρμα ἑαυτῶν ἐκύκλωσαν | 24r τούς ἁγίους εἰς τρεῖς ἀρχάς καὶ ἤρξαντο τέμνειν αὐτούς. ὁ δέ μακάριος Χριστοφόρος ἔλεγεν αὐτοῖς· Ὑπομείνατε, ἡ ζωὴ τοῦ παραδείσου ἡμετέρα ἐστίν· ἡ Γέεννα ἡ αἰώνιος ἐκείνοις ἐστιν. οἱ δὲ ἀκούσαντες τον λόγον τοῦ ἁγίου ἔστησαν προθύμως καὶ αὐτοὶ ἀλλήλους ἠξίουν. ἐκόπησαν δὲ οὕτως ἀνελεημόνως· οὐ γὰρ ἀπεκεφάλισεν αὐτούς, ἀλλ' ὥσπερ λύκος εἰς μάνδραν προβάτων εἰσελθὼν μὴ ἐχόντων ποιμένα ταῦτα διαρρήγνυσιν, οὕτως πάντας ἀνῄρει.

τούτων δὲ οὕτως ἀναλωθέντων ἐνάτῃ τοῦ μηνὸς ἰου-

2 νικᾶσαι ἐνίκησέ σε *BP* ‖ 4 σεκραίτου σεκρέτου *BP* ‖ 5 πρωΐασ ‖ 11 καμινεῖον cf ἦλθεν ἐπὶ τὸν προκείμενον τόπον ὅπου ἡ κάμινος γέγονε *BP* ‖ 18 βηματοσ *BP* ἅρματοσ *A* ‖ 19 ἅρμα cf μεταξὺ ἄλλων στρατιωτῶν τῶν φορεσάντων τὸ ἅρμα αὐτῶν *B* πληθουσ στρατιωτων παρισταμένων αὐτῷ μετὰ ὅπλων *P*, uide supra p 69, 18 ‖ 22 αἰών[ιοσ] cum lit ‖ 29 sq sic etiam *P* μηνὸσ ἀπριλλίου ἐ[ννα]τη cum ras *B*, Ado aliaque martyrologia Rom. *VII*

λίου, ἡμέρᾳ κυριακῇ ἐμαρτύρησαν τῷ λόγῳ τοῦ ἁγίου μάρτυρος μύριοι διακόσιοι τρεῖς. συλλαβόμενος δὲ τὸν ἅγιον Χριστοφόρον ἄπηει εἰς τὸ παλάτιον καὶ ἐκέλευσε κυλισθῆναι λίθον παμμεγέθη, ὃν ἤνεγκαν ὀνόματα τριάκοντα, καὶ τρυπηθῆναι τὸ ἓν μέρος τοῦ λίθου καὶ βληθῆναι ἅλυσιν καὶ περιτεθῆναι εἰς τὸν τραχηλον τοῦ ἁγίου Χριστοφόρου καὶ ἦν φρέαρ ξηρὸν μὴ ἔχον ὕδωρ καὶ ἐκέλευσε ῥιφῆναι αὐτὸν ἐκεῖ λέγων Οὐ μὴ ποιήσω εὑρεθῆναι αὐτοῦ ὀστοῦν. ἐμβληθέντος δὲ αὐτοῦ περιφερόμενος ὁ λίθος ἔνθα καὶ ἔνθα ἐγένετο ὡσεὶ κονιορτός αὐτὸς δὲ ὑπὸ ἀγγέλων ἀναληφθεὶς ἦλθεν ἔμπροσθε τοῦ παλατίου. ἐμηνύθη δὲ τῷ βασιλεῖ, καὶ ἐκέλευσεν εὐθέως ἀναρτηθῆναι αὐτόν. καὶ λέγει αὐτῷ· Διὰ τί ἄληπτος εἶ ταῖς μαγείαις σου, Ῥέπρεβε; ὡς δὲ οὐκ ἀπεκρίνατο λόγον, ἐκέλευσε γενέσθαι καράκαλλον χαλκοῦν καὶ ἐπύρωσεν αὐτὸν εὐτόνως καὶ ἐνέδυσεν αὐτόν καὶ οὐδὲ ὅλως ἐτιμωρεῖτο ὁ τοῦ θεοῦ παῖς. πάλιν δὲ εἰρωνείᾳ χρησάμενος ὁ τύραννος εἶπεν πρὸς αὐτόν Κἂν νῦν θύῃς τοῖς θεοῖς ὁ δὲ μακάριος ἔφη· Κύριε παντοκράτορ Ἰησοῦ Χριστέ, πρόσδεξαι τὸ πνεῦμά μου λοιπόν, ὅπως κἀγὼ ἀναπαύσωμαι τῇ δόξῃ σου

καὶ ταῦτα εἰπὼν κύψας προσηύξατο. ἰδὼν δὲ ὁ βασιλεὺς ὅτι οὐδὲν ὠφελεῖ αἰκιζόμενος αὐτόν, ἀπόφασιν ἔδωκεν κατ' αὐτοῦ οὕτως· Ῥέπρεβος ἀθετήσας τοὺς θεοὺς καὶ τὰ προστάγματά μου κεφαλικῇ τιμωρίᾳ κολασθήσεται καὶ λαβὼν τὴν ἀπόφασιν ἐξῆλθεν ἀπὸ τοῦ παλατίου, καὶ ἦλθεν ἐπὶ τὸν προκείμενον τόπον. ἰδὼν δὲ πολλοὺς Χριστιανοὺς ἀκολουθοῦντας καὶ δακρύοντας εἶπεν τῷ κατέ-

ad vel. Romae ad Guttam iugiter manantem s Zenonis et aliorum decem militum ducentorum trium (m Fuld. in anal. Boll 1 p. 82 *in Thomis Zenonis*) ‖ 1 τῷ in rasura ‖ 4 ὀνόματα *homines* cf. H Grotius ad Apocal. 3, 4 ‖ 7 ἔχων *A* ἔχον *BP* ‖ 12 ἀναρτηθῆναι κρατηθῆναι *BP* ‖ 14 [ὡ]ς cum rasura ‖ 15 καράκαλλον *AB* καράκαλον *P* cf. gl. Cyr καρακάλλιον *cuculla*, Salmasius ad Lampridii Ant Carac c 9 Meursius gl. graecob p. 220 ‖ 15 an αὐτὸ εὐτ ? ‖ 16 οὐδὲ] οὔτε | ὅλως οὕτως *B* ‖ 17 εἰρωνείᾳ] ἀχρονία *A* ἀναιδεία *B* ἀνεδία *P* ‖ 18 κἂν ‖ 20 ἀναπαύσομαι

24v χοντι αὐτόν στρατιώτῃ Μεῖνον, | ὅπως προσεύξωμαι. ἑστὼς δὲ προσηύξατο ουτως Κύριε Ἰησοῦ Χριστέ, ὁ βοηθήσας μοι πολλάκις, ἀποδος τὸν μισθὸν τῷ βασιλεῖ, ὅπως ὑπὸ δαίμονος τιμωρούμενος ἐσθίων τὰς ἑαυτοῦ σάρκας ἀντί ἄρτου οὕτως ἀναλωθῇ. κύριε παντοκράτορ, ἀχειροτόνητε βασιλεῦ, σωτήρ τῶν σὲ φιλούντων, τό αἴτημα ὃ αἰτῶ σε, τοῦτο παράσχου μοι βοήθησον τοῖς Χριστιανοῖς· δὸς χαριν τῷ σώματί μου, ἵνα πᾶς ἄνθρωπος ὁ ἔχων βραχύ τι λείψανόν μου, δύναμις ἔσται σὺν αὐτῷ ὥστε φανερῶς διώκειν δαίμονας μὴ γράψῃς αὐτῷ ἁμαρτίαν, μὴ καταδικάσῃς ἐν σφάλματι ἁμαρτίας ἀλλὰ δὸς χάριν τῷ σώματί μου, ἐπειδή πολλοὶ ζητοῦσί με ἁρπάσαι εἰς πόλιν ἢ χώραν ἢ ὄρος, μὴ ἐπέλθῃ χάλαζα ἐν αὐτοῖς, μηδὲ θυμὸς σός, μηδὲ ἀφορία ἀμπέλων μήτε αὐχμός γεννημάτων ἀλλ᾽ εἰ καί ποτε ἠδικοῦντο, ἐμοῦ ἐπελθόντος φυλαξον τούς τόπους, ὅπου καί ὑπομνήματά μου κατάκεινται, ὅπως οἱ κατοικοῦντες ἀφθόνως ἔχοντες τὰς ἐκ τῶν σῶν δωρεῶν τροφάς καὶ ἐμέ τιμῶσιν καί σὲ δοξάζωσιν είς τούς αἰῶνας τῶν αἰώνων, ἀμήν. καί ἦλθε φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· Κατα τὸ αἴτημά σου οὕτως ἔσται, καὶ οὐ μή σε λυπήσω ἕως τοῦ αἰῶνος ἀλλὰ καὶ ἐν τούτῳ θαυμαστωθησῃ, ὅτι ἐμεριμνησας περὶ τούτου σύ οὖν λοιπὸν ἀπόρριψον τό σῶμά σου τοῖς θελουσιν πλὴν λέγω σοι ὅτι ἐν ἀνάγκῃ πολλῇ ἐάν τις ᾖ καὶ μνημονεύσῃ ἀξίως τοῦ ὀνόματός σου ἐπικαλούμενος πρεσβείαν, φεύξεται τὴν ἀνάγκην. καί τοῦτο ἀκούσας ὄπισθεν ἑαυτόν ἔδωκεν, καί λέγει τῷ σπεκουλάτορι Δεῦρο τέκνον, ποίησον τό

4 τημωρουμενος || 5 αναλωθη | ἀχειροποίητε *A* ἀόρατε ἀχειροποίητε *B* ἀόρατε *P* ἀχειροποίητοι credebantur et dicebantur antiquissimae saluatoris imagines uelut quae in sacrario Lateranensi hodieque adseruatur cf Marangoni *Istoria dell' antichissimo oratorio di s Lorenzo* p 69 sqq || 9 δυναμισ ἔσται δυναται *P* δυναμιν ἔχῃ *B* an δυναμωθήσεται? || 10 γράψῃσ *B* γραψασ *A* | αυτῶ ἁμαρτίαν et 11 καταδικάσῃσ ἐνσφαλ in litura || 12 ἁρπάσαι ἀπάξαι *B* ἔχειν *P* || 14 γενημάτων || 16 ὅπο[υ] cum rasura || 16 δοξάζουσιν || 24 μνημονεύσει sed cum litura supra σει, an corr ex ση? || 27 σπεκουλάτορι cf Cuiacius obseru. vi 33, de declinatione supra p 65, 3

κελευσθεν σοι ὑπο τοῦ βασιλέως. ὁ δὲ προσελθὼν και ποιήσας την ἐν Χριστῷ σφραγῖδα ἀπέτεμεν τὸν τράχηλον αὐτοῦ. και εὐθέως ὁ σπεκουλάτωρ ἑαυτὸν ἐπάταξεν και ἐτελεύτησεν ἐπάνω τοῦ ἁγίου Χριστοφόρου. ἐτελειώθη δὲ μηνὶ μαΐῳ ἐνάτῃ.

παραγενάμενος δὲ ὁ ἐπίσκοπος Πέτρος πόλεως Ἀτταλειας συνορούσης Πισιδίᾳ ἐν Ἀντιοχείᾳ ἀπέδοτο ἀργύρια ἱκανά, καὶ λαβὼν τὸ σῶμα τοῦ ἁγίου μάρτυρος, καί ἐν ὀθονίοις καὶ μύροις εἱλήσας καὶ ἄλλα πολλά σώματα ἐσκέπασε τὸν μακάριον Χριστοφόρον καὶ ἐκόμισεν | ἐν τῇ 25r πόλει αὐτοῦ. ἦν δὲ ποταμός ἐπερχόμενος τῇ πόλει κατ' ἐνιαυτόν, καὶ ἠφάνιζεν τὴν πόλιν· οὗτος ποιήσας εἰς τὴν ἀπόρροιαν τοῦ ποταμοῦ τὸ μαρτύριον ἐκεῖ τὸν ἅγιον κατέθετο καὶ ἔστι πεφυλαγμένη ἕως τῆς ἡμέρας ταύτης ἐν κυρίῳ, ᾧ ἡ δόξα και τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

μετά δὲ τὸ τὸν ἅγιον Χριστοφόρον ἀποδοῦναι τὴν καλὴν ὁμολογίαν ἐξεπέμφθη ὀργη κυρίου οὐρανόθεν ἐπι τον βασιλεα Δεκιον κατα τὴν αἴτησιν τοῦ μακαριου Χριστοφόρου. καί τό σῶμα αὐτοῦ διελύετο ὡς χιων ὑπὸ νοτου και ἤρξατο λέγειν· Οὐαί μοι τῷ παρανόμῳ, ὅτι τον ἄνθρωπον τοῦ θεοῦ πικρῷ θανάτῳ ἀνεῖλον. ἡ δὲ γυνή αὐτοῦ παρεστῶσα ἔλεγεν· Οὐαί μοι τῇ ἀνελπίστῳ. ἔλεγόν σοι καί οὐκ ἤκουσάς μου. νῦν τί ποιήσω ἐγὼ ἡ ταπεινή, ὅτι ἐστέρημαι τῆς θειότητός σου, οἱ θεοί σου μὴ δύνανται μετά τοῦ Χριστοῦ εἰπεῖν καὶ ῥύσασθαί σε ἀπὸ βασάνου πικρᾶς καὶ φοβερᾶς. ὁ δὲ βασιλεὺς Δέκιος λέγει τοῖς στρατιώταις· Δράμετε, παρακαλῶ· καὶ ἐάν

5 ἐννάτῃ | [μαΐῳ ἐννάτῃ] ἡμέρα τετάρτη *B* eraso loco ampliore cf *P*. dies ex fastis graecis interpolatus est cum ecclesiae Romanae memoria (a d viii kal aug) olim haec quoque acta consensisse fidem faciunt quae supra p 72, 29 sq leguntur || 6 ἀτταλείασ *B* ἀταλίασ *P* ἰταλείασ *A* || 7 συνορούσης Πισιδίᾳ| συνοδα ουσησ περσιδοσ *A* σύνοροσ τῆς περσίδοσ *B* cf *P* 147, 14 || 13 μαρτυριον cf acta Timothei p 26 sq et I B de Rossi *bullett di archeol crist* 1878 p 128 sqq || 17—76, 5 similiter *B* brevissime *P*

εὕρητε τὸ σῶμα αὐτοῦ ἢ κράσπεδον τοῦ ἱματίου αὐτοῦ, μόνον ἄψωμαι αὐτοῦ καὶ ἀποθάνω. οἱ δὲ ἀπελθόντες, ὅπου εἱστήκει τιμωρούμενος, καὶ λαβόντες γῆν ἤνεγκαν καὶ λύσαντες ὕδατι επότισαν αὐτόν. καὶ οὕτως ἀπέδωκεν ἐν κρίσει τὴν ψυχὴν αὐτοῦ, καὶ ἐδοξάσθη τὸ ὄνομα τοῦ θεοῦ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν σὺν τῷ παναγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Επλησθη συν θεῷ τὸ μαρτυριον τοῦ ἁγιου Χριστοφόρου.

2 ἅψωμαι

INDICVLVS VERBORVM
